LIBRARY OF PRINCETON
OCT 19 1942
THEOLOGICAL SEMINARY

Folio
DT57
.F81
v.9:1-3

MINISTÈRE DE L'INSTRUCTION PUBLIQUE ET DES BEAUX-ARTS

MÉMOIRES

PUBLIÉS

PAR LES MEMBRES

DE LA

MISSION ARCHÉOLOGIQUE FRANÇAISE

AU CAIRE

SOUS LA DIRECTION DE M. U. BOURIANT

TOME NEUVIÈME

2e Fascicule

V. SCHEIL O. P.

DEUX TRAITÉS DE PHILON

ΦΙΛΩΝΟΣ

ΠΕΡΙ ΤΟΥ ΤΙΣ Ο ΤΩΝ ΘΕΙΩΝ ΕΣΤΙΝ ΚΛΗΡΟΝΟΜΟΣ
Η ΠΕΡΙ ΤΗΣ ΕΙΣ ΤΑ ΙΣΑ ΚΑΙ ΕΝΑΝΤΙΑ ΤΟΜΗΣ

ΦΙΛΩΝΟΣ

ΠΕΡΙ ΓΕΝΕΣΕΟΣ ΑΒΕΛ ΚΑΙ ΩΝ ΑΥΤΟΣ ΤΕ ΚΑΙ
Ο ΑΔΕΛΦΟΣ ΙΕΡΟΥΡΓΟΥΣΙ

PARIS
ERNEST LEROUX, ÉDITEUR
LIBRAIRE DE LA SOCIÉTÉ ASIATIQUE
DE L'ÉCOLE DES LANGUES ORIENTALES VIVANTES, DE L'ÉCOLE DU LOUVRE, ETC.
28, RUE BONAPARTE, 28

1893

Digitized by the Internet Archive
in 2018 with funding from
Princeton Theological Seminary Library

https://archive.org/details/philonosperitout00phil

✓Philo.

ΦΙΛΩΝΟC

ΠΕΡΙ ΤΟΥ ΤΙC Ο ΤΩΝ ΘΕΙΩΝ ECTIN ΚΛΗΡΟΝΟΜΟC

Η ΠΕΡΙ ΤΗC ΕΙC ΤΑ ΙCΑ ΚΑΙ ΕΝΑΝΤΙΑ ΤΟΜΗC

ΦΙΛΩΝΟC

ΠΕΡΙ ΓΕΝΕCΕΩC ΑΒΕΛ ΚΑΙ ΩΝ ΑΥΤΟC ΤΕ ΚΑΙ Ο ΑΔΕΛΦΟC ΙΕΡΟΥΡΓΟΥCΙ.

TRAITÉS RÉÉDITÉS, D'APRÈS UN PAPYRUS DU VIe SIÈCLE ENVIRON

PAR

V. SCHEIL O. P.

PRÉFACE

Le papyrus dont nous publions ci-après le contenu fut trouvé à Coptos, dans la Haute-Égypte, en 1889. Considéré sans doute aux temps anciens comme chose très précieuse, il avait été clos et muré dans une niche. Le son creux de la muraille à cet endroit éveilla l'attention. En ouvrant, on tira de leur secret deux traités de Philon d'Alexandrie. Le tout, du format connu presque carré in-8° des livres arabes, était relié dans une couverture de cuir, avec une languette et un cordon de cuir se ramenant sur la couverture. Dans sa cachette, le livre dut être très comprimé, le béton est comme incrusté à l'extérieur; les feuillets adhéraient fortement en une masse et étaient en outre comme chevillés les uns aux autres par quantité de petits grains de sel, produits d'une condensation séculaire dans le tissu végétal.

Les feuillets d'une grande ténuité étaient au nombre de 44, numérotés, disposés en cahiers de 10, 10, 12 et 12 feuilles, cousus ensemble avec une tige herbacée très fine faisant office de fil. Entre le papyrus et le fil, afin que le premier ne fût pas endommagé par le second, on avait glissé dans le pli de petits fragments rectangulaires de parchemin. Un fragment de la même substance avait été appliqué sur la marge de la page, et devait déborder sur la tranche, en guise de signet, là où finit le premier traité. Un autre genre de signet mobile oublié par le dernier lecteur du livre, entre le vingtième et le vingt et unième feuillet, est une petite plume à barbe blanche (de ramier). A la suite du quarante-quatrième feuillet, en guise de bourre, je pense, et pour remplir la capacité de la couverture, se trouvaient plusieurs fragments de feuillets collés ensemble, et provenant d'un Évangéliaire, l'un d'eux portant κατα Μαθθαιον, et les autres, des fragments de saint Luc. La fin du dernier traité et sa suscription se trouvent à la suite, sur la couverture intérieure [1].

L'écriture, en belles onciales, disposées en deux colonnes sur le recto et le verso,

1. Des planches phototypiques ci-jointes, l'une reproduit l'aspect du papyrus dans sa couverture; le n° 1 le fragment de saint Luc; le n° 2, le verso du premier folio du premier traité; le n° 3, le verso du folio 9 du même traité.

est très lisible et paraît faire remonter l'époque du papyrus vers le VIe siècle. Les deux traités ne sont certainement pas de la même main. On y reconnaît la manière d'au moins deux copistes.

Comme particularités graphiques, notons l'usage intermittent du guillemet pour les citations un peu longues, sous forme de (>), à la marge, devant chaque ligne. Dans le second traité, où l'écriture est parfois plus rapide, ce signe s'arrondit en (ʔ) une sorte de virgule. Nous le reproduisons dans notre texte.

La ponctuation y est en usage au commencement du premier traité, et durant tout le dernier. Elle comprend principalement le point en haut et le point en bas. On ne saurait y contester l'existence d'un point intermédiaire, quoiqu'il soit d'un usage plus rare. Il est difficile de préciser la valeur qu'ils impliquent, comme coupe ou pause. Souvent confondus l'un avec l'autre, ils sont en outre placés souvent en dépit du sens. Parfois ils modifient, et à bon droit, celui des éditions reçues.

Dans le deuxième traité deux tirets isolent un grand paragraphe, ou servaient de points de repère. Ils sont reproduits dans notre texte.

Faute d'un moyen convenable de combiner la ponctuation ancienne avec la moderne, nous laisserons subsister telle quelle celle du papyrus, jusqu'à l'endroit où elle disparaît complètement.

L'accentuation est des plus simples. On y fait un usage presque constant du signe ⊢ ou ϵ, pour les mots suivants : ὧν, οἷς, ἧς, οὗ, ἃς, ὦ, ἅπερ, ἓν, ἅτε, ἕνος, χειροήθη et quelques autres peu nombreux.

Il se présente un autre genre de signe, dans ορα͡ις = ὁρᾷς ; ανωπεδα͡ιν = ἀνωπεδᾶν ; περιστερα͡ι = περιστερᾷ. Ni l'un ni l'autre de ces signes ne correspondent exactement à l'accent circonflexe (περισπωμένη), ou à l'esprit rude, encore qu'il y ait quelques coïncidences. Le tréma ϊ, ϋ, est en usage en dehors de la diérèse proprement dite, pour quelques mots ϊδιον — ϋδωρ, surtout, quand ces voyelles commencent le mot.

L'iota n'est jamais souscrit mais toujours inscrit dans le mot. Dans notre texte nous le souscrivons là où l'usage chez nous le fait souscrire. Ailleurs nous l'inscrivons, comme pour φυσηι (au nominatif), en reproduisant le manuscrit.

L'apostrophe se rencontre fréquemment dans les élisions. Elle sert aussi à séparer deux lettres dont le voisinage pourrait produire une confusion comme τ'τ qui, à ce défaut, aurait l'aspect d'un Π.

Comme signe d'abréviation, il y a le trait horizontal au-dessus des mots abrégés. θς = θεός; υς = υἱός; πτρ = πατήρ; πνα = πνεῦμα; κς = κύριος.

A la fin des lignes le même trait égale ν, πα, πασα = πᾶν, πᾶσαν, etc.

Une seule fois et problématiquement, l'apostrophe semble être un signe non d'élision, mais d'abréviation : διαλεκτ'ον pour διαλεκτικόν que le contexte réclame et que portent les manuscrits postérieurs.

Une fois λ/ pour λυ.

Le goût calligraphique se trahit, dans la manière dont on corrigeait les mots, en cas d'incorrection. Au lieu de l'*obèle*, on pointillait surtout la lettre ou les lettres d'un mot απο. Deux fois cependant le copiste eut recours à la parenthèse courbe, pour éliminer une syllabe et un mot superflu.

Parfois, on se contentait de placer la correction, au-dessus de la faute, en surcharge, par exemple dans la 2e page, 1re colonne, ω, ꙋ *oméga* pour *omikron*, etc. sans raturer la faute.

Le correcteur du deuxième traité se sert fréquemment de la raie transversale.

A la fin des premières pages, et autour des deux suscriptions, se remarque un essai d'ornementation, en forme de petites guirlandes feuillues :

L'ouvrage devait avoir une sorte de titre, écrit en grandes lettres. On trouve en effet, à la marge inférieure du recto de la première page, un fragment provenant d'un avant-premier feuillet, et portant en grosses lettres ΩN, à restituer sans doute en [Φιλ]ΩN...

Dans notre transcription, les feuillets et les colonnes du manuscrit sont indiqués en marge, et dans le texte la numérotation grecque, là où elle est restée lisible.

Le premier traité est celui connu sous le titre : Περὶ τοῦ τίς ὁ τῶν θείων πραγμάτων κληρονόμος.

Ce titre est suivi dans la suscription d'un autre, tiré de la nature philosophique de l'ouvrage : ἢ περὶ τῆς εἰς τὰ ἴσα καὶ ἐναντία τομῆς.

Eusèbe dans le second Livre de son *Histoire* (chap. 18) reproduit le double titre textuellement. *Saint Jérôme* dans son *Catalog. script. Eccl.* en conclut l'existence

de deux ouvrages distincts : « Exstant opera... de haerede divinarum rerum, *liber unus;* De divisione aequalium et contrariorum, *liber unus...* » — De même Suidas : γέγραπται αὐτῷ βιβλία ἄπειρα ἐξ ὧν... περὶ κληρονόμου τῶν θείων πραγμάτων α̲. περὶ μερισμοῦ ἴσων καὶ ἐναντίων α̲. Une lecture superficielle du Traité suffirait pour dissiper cette erreur, à défaut d'autre preuve. Le deuxième traité porte, en tête, et à la fin en suscription : περὶ γενέσεως Ἄβελ καὶ ὧν αὐτός τε καὶ ὁ ἀδελφὸς ἱερουργοῦσι.

Comme il fallait s'y attendre, notre Papyrus a de commun, avec les manuscrits dits *Mediceus* et *Augustanus,* qu'il englobe dans le *De Sacrificiis,* tout le traité *De mercede meretricis* moins quelques phrases d'introduction.,

Dans la première rédaction de cette préface, il y a un an, je revendiquai pour le *De merc. meretr.*, comme son lieu naturel et originel, le traité *De Sacrif.* A mon sens, sauf meilleur avis, Philon s'était fait à lui-même plus tard un emprunt, auquel il ajouta un exorde, justifiant une nouvelle application du même commentaire, à un autre texte de l'Écriture, *Deut.* 23, 18. Devant un double emploi, les copistes postérieurs, pour ne pas annihiler en quelque sorte un traité déjà petit de Philon, auraient préféré opérer une suppression, dans le traité *De Sacrificiis.* Depuis que j'ai pris connaissance de la savante Dissertation de M. *P. Wendland : Neu entdeckte Fragmente Philos nebst einer Untersuchung ueber die urspruengliche Gestalt der Schrift De Sacrificiis Abelis et Caïni* (Berlin, *Reimer,* 1891, pp., 125, etc.), je ne répugnerai pas à m'associer entièrement aux conclusions de cet auteur qui fait du *De mercede meretricis,* une compilation du moyen âge.

Dans notre Papyrus, le texte du *De Sacrif.* a été revisé par un correcteur; trait et ton de l'écriture sont plus forts que chez le copiste.

Dans l'un et l'autre traité, on rencontre çà et là un membre de phrase, une phrase inédite. Les variantes sont nombreuses, et souvent intéressantes. Les citations bibliques en offrent plusieurs qui permettront peut-être de dire quelle version des Septante s'était vulgarisée en Égypte. Nous n'avons corrigé que les fautes manifestes, en indiquant la faute elle-même en note, de sorte que le manuscrit est intégralement reproduit, soit dans le grand texte, soit en notes. Les restitutions sont faites d'après l'édition *Richter* (Philonis opera omnia, Lipsiae 1823), et placées entre parenthèses. Dans les passages nouveaux, elles le sont d'après mes propres conjectures. Les variantes sont prises dans la même édition de Leipzig.

Nous n'avons à examiner dans ce papyrus, au point de vue de la grécité, que la forme extérieure des mots, c'est-à-dire les diverses manières dont sont rendues certaines consonnes, les diphtongues, leurs alternances avec les voyelles; les crases, synalèphes, etc. Dans cet ordre de choses, le manuscrit abonde en particularités, encore qu'elles demeurent à l'état d'exceptions. Nous les maintenons toutes dans le texte, comme utiles pour fixer, à une époque et en Égypte, la prononciation grecque. Nous signalons, en note, au lecteur celles qui seraient moins fréquentes ou plus curieuses.

αι *est mis fréquemment pour* ε : εμφαιρειαν *pour* ἐμφέρειαν; αικουσιοι *pour* ἑκούσιοι; νομισταιον *pour* νομιστέον; επανειαιναι *pour* ἐπανιέναι; εσεσθαι *pour* ἔσεσθε; ωσται *pour* ὥστε; χαιρουβειν *pour* χερουβίν, etc..., et vice versa. Cf. infr.

αι *est mis pour* η : διωκεισθαι *pour* διωκίσθη; ακαιρατον *pour* ἀκήρατον, etc..., et vice versa. Cf. infr.

ε *est mis pour* η : γενεται *pour* γένηται; σεμειον *pour* σημεῖον, etc..., et vice versa.

ε *est mis pour* αι : βενοι *pour* βαίνοι; δεξασθε *pour* δέξασθαι; κρατεωτερω *pour* κραταιοτέρω; ποιμενειν *pour* ποιμαίνειν; στεος *pour* σταῖος avec correction d'ε en αι; τελευτέον *pour* τελευταῖον; ταξε *pour* τάξαι; ερεσιν *pour* αἵρεσιν; πεδευτικως *pour* παιδευτικῶς, etc..., et vice versa.

ει *est mis pour* η : ποιειται *pour* ποίηται ; τρανει *pour* τρανῇ; μεμνησει *pour* μεμνήσῃ; μειδεν *pour* μηδέν; διηρειτο *pour* διήρητο; μειγεθει *pour* μηγέθει; αφεις *pour* ἀφῇς, etc..., et vice versa.

ει *est mis pour* ι : επει *pour* ἐπί; χερσει *pour* χερσί; τεχνειτης *pour* τεχνίτης; ειδωμεν *pour* ἴδωμεν; διενιμε *pour* διένειμε; μειξεως *pour* μίξεως; τεινος *pour* τινος; ειμει *pour* εἰμί, etc..., et vice versa. Cf. inf.

η *est mis pour* ε : πηπτειν *pour* πέπτειν, etc..., et vice versa.

η *est mis pour* ι : δειληνης *pour* δειλινῆς; φηληματος *pour* φιλήματος, et vice versa. Cf. inf.

η *est mis pour* αι : διηρει *pour* διαιρεῖ; εμφηνων *pour* ἐμφαίνων, et v. v. Cf. sup.

η *est mis pour* ει : επιλαμψη *pour* ἐπιλάμψει ; οψη *pour* ὄψει; δυναμη *pour* δυνάμει; υποληπτεον *pour* ὑπολειπτέον ; νομης *pour* νομεῖς, etc..., et v. v. Cf. sup.

ηι *est mis pour* η : ζωηι *pour* ζωή ; ψυχηι *pour* ψυχή ; μεισουμενηι *pour* μεισουμένη ; αρχηι *pour* ἀρχή; φωνηι *pour* φωνή; ομογενηι *pour* ὁμογενῆ.

ι *est mis pour* η : διμιουργηθεισαν *pour* δημιουργηθεῖσαν; παιδικι *pour* παιδικῇ; μυρμικα *pour* μύρμηκα; εδιμιουργει *pour* ἐδημιουργεῖ, Ρουβιν *pour* Ῥουβήν, etc..., et v. v. Cf. sup.

ι *est mis pour* αι : παλιος *pour* παλαιός (en passant sans doute par παλεος).

ι *est mis pour* ει : ιστηκειν *pour* εἱστήκειν; διλεια *pour* δειλία; επι *pour* ἐπεί; διοισιν *pour* διοίσειν; θυσιν *pour* θύσειν; (αι) πραξις *pour* πραξεῖς; επιτα *pour* ἔπειτα; ιασεν *pour* εἴασεν; τρις *pour* τρεῖς, etc..., et v. v. Cf. sup.

ο *est mis pour* ω : passim etc..., et v. v.

ο *est mis pour* αυ : αποχενιζουσαι *pour* ἀπαυχενίζουσαι.

οι *est mis pour* υ : μοιθοποιιαν *pour* μυθοποιΐαν; σοι *pour* σύ; μεμοικος *pour* μεμυκός, et v. v. Cf. inf.

ω ι *est mis pour* ω : κατηφωι *pour* κατηφῶ; ηττωι *pour* ἥττω; κρειττωι *pour* κρείττω.

υ *est mis pour* οι : φυταν *pour* φοιτᾶν; επιφυτωσιν *pour* ἐπιφοιτῶσιν; επιφυτωντα *pour* ἐπιφοιτῶντα; υον *pour* οἷον; φυτητην *pour* φοιτητήν; πυκιλματων *pour* ποικιλμάτων; ανυξω *pour* ἀνοίξω, etc..., et v. v. Cf. sup.

Les formes complexes écrites se résolvent dans le langage en forme simple. Leur identification est si parfaite que le copiste, sous la dictée, substitue souvent, même dans l'écriture, à la forme naturelle simple, une forme complexe.

Les consonnes doubles sont presque toujours écrites comme des consonnes simples, (surtout ρρ) : επιροην; — τιθασον; — πλημυρα; — διαρειν, etc.

γ *s'assimile au* κ *dans* εκκειμενου *pour* ἐγκειμένου.

γ *se change en* ν *dans* ενκυκλιους *pour* ἐγκυκλίους; ενκωμιον *pour* ἐγκώμιον; αρχανγελω *pour* ἀρχαγγέλῳ; ενγραφεις *pour* ἐγγραφείς.

κ *devient* γ *dans* εγλυειν *pour* ἐκλύειν; εγλιπων *pour* ἐκλείπων; εγδεξαμενος *pour* ἐκδεξάμενος.

μ *se change en* ν *devant* π, φ, *ou disparaît :* ενπλεα *pour* ἔμπλεα; ενφαινοιτο *pour* ἐμφαίνοιτο; ενποιειν *pour* ἐμποιεῖν; συνπαντα *pour* σύμπαντα, etc.

ν *devant* σ *s'assimile au* σ : πασσοφος *pour* πάνσοφος (bis).

δ et τ *sont pour* θ *dans* εγκατισαι, δυστηρατον, δεσπισας, et v. v. dans τιθαι (*pour* τιθαι).

φ *est mis pour* π *dans* φυρι

Ce papyrus appartient présentement à la Bibliothèque nationale qui a bien voulu en accepter l'hommage.

Paris, 20 novembre 1891.

ΦΙΛΩΝΟϹ

ΠΕΡΙ ΤΟΥ ΤΙϹ Ο ΤΩΝ ΘΕΙΩΝ ΕϹΤΙΝ ΚΛΗΡΟΝΟΜΟϹ

Η ΠΕΡΙ ΤΗϹ ΕΙϹ ΤΑ ΙϹΑ ΚΑΙ ΕΝΑΝΤΙΑ ΤΟΜΗϹ

TRAITÉ RÉÉDITÉ D'APRÈS UN PAPYRUS DU VIe SIÈCLE ENVIRON

PAR

V. SCHEIL O.-P.

I. Ἐν μὲν τῇ πρὸ ταύτης συντάξει τὰ περὶ μεισθῶν [ὡ]ς ἐνῆν ἐπ' ἀκριβείας διεξήλθ[ομεν.] Νὺν Pag. I, col. a.
δὲ πρόκειται τεὶς ὁ τῶν θείων πραγμάτων κληρονόμος ἐστίν· ἐπειδὴ γὰρ θεσπισθέντος σοφὸς ἤκουσε
> λογίου τοιούτου· ὁ μισθός σου πολὺς ἔσται σφόδρα· πυνθάνεται φάσκων· δέσποτα τί μοι
> δώσεις· ἐγὼ δὲ ἀπολύομαι ἄτεκνος· ὁδὲ υἱός Μασεκ τῆς οἰκογενοῦς μου κληρονομήσει με·
> οὗτος δαμασκὸς Ἐλιέζερ· καὶ πάλιν ἐπειδὴ ἐμοὶ οὐκ ἔδωκας σπέρμα ὁ οἰκογενής μου κληρονο- 5
μήσει με· καίτοι τίς οὐκ ἂν τὸ τοῦ χρησμῳδοῦντος ἀξίωμα καὶ μέγεθος καταπλαγεὶς ἄφωνος καὶ
ἀχανὴς ἐγένετο· καὶ εἰ μὴ διὰ δέος. ἀλλὰτοι τῷ περιχαρεῖ· ἐπιστο[μείζ]ουσι γὰρ ὡς αἱ σφοδραὶ
λῦπαι. [καὶ] ὑπερβάλλουσαι χαραί· δι[ὸ καὶ] Μωϋσης ἰσχνόφωνος ὁμο[λογεῖ] καὶ βραδύγλωσσος
γενέσθαι [ἀφ' ο]ὗ ἤρξατο ὁ θεὸς αὐτῷ διαλέγ[εσθα]ι· καὶ ἀψευδής ἐστι ἡ τοῦ [προφ]ήτου μαρτυρία·
τότε γὰρ [εἰκὸς τ]ὸ μὲν φωνητήριον [ὄργανο]ν ἐπέχεσθαι· τὸν δὲ [κατὰ διά]νοιαν λόγον ἀρθρούμε- 10
[νον] ἀνυποτάκτῳ φορᾷ χρῆσ[θ]αι [νο]ημάτων οὐ ῥημάτων. . . . .ατων) ἐπάλληλα κάλ[λη] μετ'
εὐτρόχου καὶ ὑψηγό[ρου] δ[υ]νάμεως φιλοσοφοῦντα· [θαυ]μάσιοι δὲ ἀρεταὶ ἥ τε εὐτολ[μία] καὶ ἡ ἐν
τῷ δέ[οντ]ι παῤῥη[σία] πρὸς τοὺς ἀμε[ίνο]υς ὡς [καὶ] τὸ κωμικὸ[ν] ἀψευδῶς μᾶ[λλον] ἢ κομικῶς Col. b.
[εἰρῆσθαι] δοκεῖ.

ἂν πάνθ' ὁ δοῦ[λος ἡσυχ]άζειν μανθάνῃ 15
πο[νηρὸς ἔσται] μεταδείδου παῤῥη[σίας]

[πό]τε οὖν ἄγει παῤῥη[σίαν οἰκέ]της πρὸς δεσπότην [ἄρ' οὐ]χ ὅταν ἠδικηκότι μὲ[ν ἑαυτ]ῷ μηδὲν
συνειδῇ· πάντα δ' ὑπὲρ τοῦ κεκτημένου καὶ λέγοντι καὶ πράττοντι· πότε οὖν ἄ[ξ]ιον καὶ τὸν θεοῦ
δοῦλον ἐλευθεροστομεῖν πρὸς τὸν ἑαυτοῦ τε καὶ τοῦ παντὸς ἡγεμόνα καὶ δεσπότην ἢ ὅταν ἁμαρτη-
μάτων τε καθαρεύῃ καὶ τὸ φιλοδέσποτον ἐκ τοῦ συνειδότος κρείνῃ· πλείονι χρᾷ χρώμενος ἐπὶ τῷ 20
θεράπων [θεοῦ] γενέσθαι. ἢ εἰ τοῦ παντὸς ἀνθρώπων γένοις ἐβασίλευσεν τὸ γῆς ὁμοῦ καὶ θαλάττης
ἀναψάμενος ἀκονειτὶ κράτος· τὰς δὲ φιλοδεσπότους θεραπείας καὶ λει[τουρ]γίας τοῦ Ἀβραὰμ δια-
> συνί[στησιν] ἀκροτελεύτιον λογίου τοῦ [χρησ]θέντος αὐτοῦ τῷ υἱεῖ· δ[ώσω] σοι καὶ τῷ σπέρ-
> ματί σου πᾶσαν τὴν γῆν ταύτην κα[ὶ ἐν] ευλογηθήσεται τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆ[ς] γῆς
> ἀνθ' ὧν ὑπήκουσεν Ἀβραὰμ [ὁ πα]τήρ σου τῆς ἐμ[ῆς φωνῆς] καὶ ἐφύλαξεν τ[ὰ προστάγμ]ατά 25
μου· καὶ τ[ὰς ἐντολάς] μου καὶ τὰ δικαιώ[ματά μου κα]ὶ τὰ νόμιμά μου· [μέγιστο]ν δ' ἐνκώμιον
οἰκέ[του μηδ]ενὸς ὧν ἂν προσ[τάξῃ ὁ δεσ]πότης ὀλιγωρεῖν ἀόκ[νως] δὲ καὶ φιλοπόνως ὑ[πὲρ δύ]ναμιν Pag. II, col. a.
πάντα σπουδάζειν αἰσίᾳ γνώμῃ κατορθοῦν· εἰσὶν μὲν οὖν οἷς ἀκούειν ἀλλ' οὐ λέγειν ἐμπρεπὲς ἐφ'

1. βίβλῳ περί... — νυνὶ δὲ πρ. ζητεῖν τίς... — 2. θ. λ. τ. ὁ σοφὸς ἤκ. — 3. Om. ἔσται. — τί μοι δέσποτα. — 4. ἀπελεύσομαι. — υἱός μου ὁ ἐκ τῆς οἰκέτιδός μ. — Pap. om. κλ. μ. — 5. ὁ δὲ οἰκ. — 8 ἰσχ. κ. βρ. ὁμ. γεν. — 11. A restituer (ῥημάτων) et à considérer comme biffé, à cause de la parenthèse. Voir Préf. — 13. Om. τῷ. — 14. δοκεῖν. — 15. ἡσυχάζων. — 18. τ. τοῦ θ. — 19. Om. τε. — 20. Om. τε. — Pap. κακαθαρευη. — 21. γεν. θ. — 22. Pap. φιλοδεσποτας. — 24. ἐνευλογηθήσονται ἐν τ. σ. — Pap. το σπ. — 25. ὑπήκουσιν. — 26. καὶ τ. ἐντ. μ. καὶ τοὺς νόμους μου καὶ τὰς κρίσεις. Μέγ. — 28. Pap. αισιω γν. κτορθουν. — 28. εὐπρεπές.

ὧν λέγεται σιώπα καὶ ἄκουε · πάγκαλον παράγγελμα · θρασύτατον γὰρ καὶ λαλίστατον ἀμαθία · ἧς πρῶτον μέν ἐστιν ἄκος ἡσυχία · δεύτερον δὲ προσοχὴ τῶν ἄξιόν τι φερομένων ἀκοῆς · μηδεὶς μέν-τοι νομισάτω τοῦτ' αὐτὸ μόνον ἐμφαίνεσθαι διὰ τοῦ σιώπα καὶ ἄκουε · ἀλλὰ καὶ προτρέψασθαι δυνατώτερον [ἕ]τερον · οὐ πα[ρ]αινεῖ μό[νον] γλώττῃ σιωπᾶν καὶ [ὦ]σὶν ἀκούειν · ἀλλὰ καὶ [ψυ]χῇ
5 ταῦτα παθεῖν ἀμφότερα · πολλοὶ γὰρ ἐπ' ἀ[κρ]όασιν ἥκοντές τινος. [Ο]ὐκ ἐληλύθασιν ταῖς διανοίαις ·
Col. 6. ἀλλ' ἔξω πλα[νῶ]νται καὶ μυρία περὶ μυρίων [ἐα]υτοῖς διεξέρχον[τ]αι · τὰ συγ[γενικ]ὰ τὰ ὀθνεῖα τὰ ἴδια · τα. . . . . ὧν εἰκὸς ἦν ἐν τῷ [παρόν]τι μὴ μεμ[ν]ῆσθαι · πάνθ' ὡς ἔπο[ς] εἰπεῖν ἑξῆς συναριθ-μούμενοι · καὶ διὰ τὸν ἐν ἑαυτοῖς πολὺν θρο[ῦ]ν ἀδυνατοῦ[σι το]ῦ λέγοντος ἀκροᾶσθαι · λέγει γὰρ ἐκεῖνος ὥσπερ οὐκ ἐν ἀνθρώποις ἀλλ' ἐν ἀψύχοις ἀνδριάσιν · οἷς ὦτα μέν ἐστι ἀκοαὶ δ' οὐκ ἔνεισιν ·
10 ἐὰν οὖ ν μηδενὶ τῶν ἔξωθεν ἐπειφοιτώντων ἢ ἔνδον ταμιευομένων πραγμάτων ὁ νοῦς ἀξιώσῃ προς-ομιλεῖν · ἀλλ' ἠρεμίαν ἀγαγὼν καὶ ἡσυχάσας πρὸς τὸν λέγοντα ἑαυτὸν ἀποτείνῃ · σιω[πή]σας ἀκροᾶσ-θαι ἑταιρῶν δ' οὐκ ἂν ἰσχύσαι · τοῖς μὲν οὖ(ν) ἀμαθέσι συμφέρον ἡσυχ[ία] τοῖς δὲ ἐπιστήμης
> ἐφειε[μέ]νοις καὶ ἅμα φιλοδεσπ[ότοις] ἀναγκαιότατον ἡ παῤῥησία κτῆμα · λέγεται οὖν ἐν ἐξόδῳ
> κύριος πολεμήσει ὑπὲρ ὑμῶν καὶ ὑμεῖς σιωπέσεσθε καὶ [χρ]ησμὸς εὐθὺς ὑπόκειται [τοι]όςδε :
15 > καὶ εἶπεν κύριος πρ[ὸς Μω]ϋσῆν · τί βοᾷ πρός με : ὡς δέον καὶ σιωπᾶν τοὺς μηδὲν ἄξιον ἀκοῆς ἐροῦντας · καὶ λέγειν τοὺς ἔρωτι σοφίας θε[ῷ] πεπισ[τευ]κότας · καὶ μὴ μόνον λέγειν [σ]υνηρε-
Pap. III, col. a. μοῦντα · ἀλλ[ὰ καὶ με]τὰ κραυγῆς μείζον[ος] ἐκβοᾶν · οὐ στόματι καὶ γλώτ[τῃ δι' ὧν ἀέρα λό]γος ἔχει σφερού[μενον αἰσθη]τὸν ἀκοῇ γείνε[σθαι ἀλλὰ τῷ] παμμούσῳ καὶ [μεγαλοφωνοτάτ]ῳ ψυχῆς ὀργάνῳ οὗ θνητὸς μ[ὲν] ἀκροατὴς οὐδὲ εἷς ὁδὲ ἀγέ[ννητος κα]ὶ ἄφθαρτος μόνος · τὸ γὰρ [νοητῆ]ς
20 ἁρμονίας εὐάρμοστον καὶ σύμφωνον μέλος · ὁ νοητὸς μουσικὸς μόνος καταλαβεῖν ἱκανὸς · τῶν δὲ ἐν αἰσθήσει φυρομένων οὐδὲ εἷς · ὅλου δὴ τοῦ διανοίας ὀργάνου κατὰ τὴν διὰ πασῶν ἢ δὶς διὰ πασῶν συμφωνίαν ἐξηχοῦντ[ος ὁ ἀκρ]οατὴς ὡσανεὶ πυνθάν[εται πρὸς] ἀλήθειαν οὐ πυνθ[ανόμ]ε[νος] · πάντα γὰρ γνώριμα θεῷ · τί βο[ᾷ πρός] με · καθ' ἱκεσίαν κακῶν ἀποτροπῆς ἢ κατ' εὐχαριστείαν μετουσίας ἀγαθῶν · ἢ κατὰ ἀμφότερα · λάλος δὲ οὕτως ὁ ἰσχνόφωνος καὶ βραδύγλωσ[σος] καὶ ἄλογός εἶναι
25 δοκῶν ἀνευρίσκεται · ὥ[στ]ε πῇ μὲν οὐ μόνον λέγων ἀλλὰ καὶ βοῶν εἰσάγεται · ἑτέρωθι δὲ [ἀ]παύστῳ καὶ ἀδιαστάτῳ χρώμε[νος λό]γων ῥύμῃ Μωϋσῆς γὰρ φησὶν ἐλά[λει καὶ ὁ] θεὸς ἀπεκρίνετο αὐτῷ φωνῇ · [οὐ κατὰ] συντέλειαν ἐλάλησεν · ἀλλὰ κα[τὰ] μηκυνομένην παράτασιν ἐλά[λε]ι · καὶ ὁ θεὸς οὐ κατὰ συντέλειαν ἐδίδαξεν · ἀλλ' αἰεὶ καὶ συνεχῶς ἀπεκρείνετο · ὅπου δὲ ἀπόκρισις ἐκεῖ πάντως ἐρώτησις · ἐρωτᾷ δὲ ἕκαστος [ὃ μ]ὴ ἐπίσταται μαθεῖν γνησίως τε τῶν εἰς ἐπιστήμην ὠφελιμώτατον
30 ἔργον εἶναι · ζητεῖν · ἐρωτᾶν · πυνθάνεσθαι · μηδὲν δοκεῖν εἰδέναι · μηδέ τι οἴεσθαι παγίως κατει-

1. κάκιστον γ. κ. θρ. ἀμ. — 2. ἀκοῆς ἡσυχία. — τι ἀκ. προφερομένων. — Pap. ακοης. — 3. Pap. νομισάτῶω (l'*omicron* biffé). — 4. οὐ γὰρ π. — 6 Pap. οθεια. — τὰ ἴδ. ὧν εἰκ. — 7. μεμ. πάντως · ἃ ὡς ἔπ. — Pap. εξη. — 8. ἐν αὐτοῖς. — 9. Pap. ἀνθρόποις. — 11. ἡσ., ἑαυτ. ἀπ. πρ. τ. λέγ., σιωπήσας κατὰ τὸ Μωϋσέως παράγγελμα, δυνήσεται μετὰ τῆς πάσης προσοχῆς ἀκροάσασθαι, ἑτέρως δὲ οὐκ ἀν ἰσχύσῃ. τοῖς μέν... — 13. λέγ. γοῦν. — Pap. εν εξαρω — 14. πολ. ὑπὲρ ἡμῶν κ. ὑμ. σιγήσετε καὶ... — 15. τί βοᾷς πρ. μ. — 16. Le papyrus semble avoir eu θειω. Voir planche nº 2. — λέγ. σὺν ἠρεμίᾳ, ἀλλὰ... — 18. φωνῆς ὀργάνῳ. — 21. Pap. αισθηει. — 21 καὶ δίς. — 23. τί πρός με βοᾷς. — 24. λ. δ. οὐδὲν ἧττον ὁ ἰσχ. — 27 ἀπεκρίνατο αὐτ. ἐν φ. — 28. ἀπεκρίνατο. — 29. μαθ. ἀξιῶν, γνοὺς τῶν εἰς ἐπ. ὠφελιμωτάτων.

λη[φέ]ν[αι] [σοφ]οὶ μὲν οὖν ὑφηγητῇ καὶ [διδασκάλῳ] χ̣ρῶνται · οἰδ' ἀτελέστε[ροι τῷ σοφ]ῷ · διὸ Col. b.
> καὶ λέγουσιν λάλη[σον σὺ ἡ]μεῖν καὶ μὴ λαλείτ[ω πρὸς ἡ]μᾶς ὁ θεὸς μή ἀποθά[νωμεν] τοσαύτῃ
δ' ἄρα χ̣ρῆτ[αι παῤῥη]σίᾳ ὁ ἀστεῖος · ὥστε [οὐ μόνον] λέγειν καί βοᾶν. ἀλλ' [ἤδη καὶ κατα]βοᾶν
> ἐξ ἀληθοῦς πίσ[τεως] καὶ ἀπὸ γνησίου τοῦ [πάθου]ς θαῤῥεῖ · τὸ γὰρ εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν
> ἁμαρτείαν ἄφες εἰδὲ μὴ ἐξάλειψόν με ἐκ τῆς βίβλου ἧς ἔγραψας καὶ τὸ μὴ ἐγγαστρεὶ ἔλαβον ;
> πάντα τὸν λαὸν τοῦτον ἢ ἐγὼ ἕτεκον ὅτι λέγεις μοι λάβε αὐτὸν εἰς τὸν κόλπον σου ὡσεὶ ἆραι
> τιθήνη τὸν θηλάζοντα · καὶ τὸ πόθεν μοι κρέα δοῦναι παντὶ τῷ λαῷ τού[τῳ] ὅτι κλαίουσιν ἐπ'
> ἐμοί [μὴ] πρόβατα καὶ βόες σφαγή[σο]νται · ἢ πᾶν ὁ ὄψος τῆς θαλάσσης συναχ̣θήσεται καὶ
> ἀρκέσει καὶ τὸ κύριε διὰ τί ἐκάκωσας τὸν λαὸν τοῦτον · καὶ ἵνα τί ἀπέσταλκάς με · καὶ ἀφ' οὗ
> ἐγὼ πορεύομαι πρὸς Φαραὼ λαλῆσαι ἐπὶ τῷ ὀνόματι σου ἐκάκωσε τὸν [λαόν] καὶ οὐκ ἐρύσω 10
τὸν λα[όν σου] ταῦτα γὰρ καὶ τὰ τοια[ῦτα] ἔδεισεν ἄν τις καὶ πρὸς [ἕνα] τῶν βασιλέων ἐαμμ[έρει]
εἰπεῖν · ὁδ' ἀποφαίνεται καί πρὸς θεὸν ἐθαῤῥήσεν τοῦτο δ' ἄρα περ ἦν οὐ τ[όλ]μης ἀλλ' εὐτολμίας
αὐτῷ διότι οἱ σοφοὶ πάντες φίλ[οι] θεοῦ · καὶ μάλιστα κ[α]τ[ὰ] τὸ ἱερώτατον νομοθέτη[μα] · παῤῥη-
σία δὲ [φιλ]είας συγγ[ενές · ἐπεὶ] πρὸς τίνα ἄν τις ἢ τὸν [ἑαυτοῦ φί]λον παῤῥησιάσαιτο · παγ[κάλως Pag. IV. col. a.
οὖν] ἐν τοῖς χρησμοῖς φίλος [ᾄδεται Μω]ϋσῆς · ἵν' ὅσα ἐπὶ θάρρει [παρακεκι]νδυνευμένα διεξέρχ̣ε]ται 15
φιλί]α μᾶλλον ἢ αὐθαδίᾳ προφέρε[σθαί δο]κῇ. θρασύτης μὲν γὰρ αὐθάδους φίλου δὲ θαῤῥαλεότης
οἰκεῖον · ἀλλὰ σκόπει πάλιν ὅτι εὐλαβίᾳ τὸ θαῤῥοῦν ἀνακέκραται · τὸ μὲν γὰρ τί μοι δώσεις θάρσος
ἐμφαίνει · τοδὲ δέσποτα εὐλάβεια εἰωθὼς δὲ χ̣ρήσασθαι μάλιστα διτταῖς ἐπὶ τοῦ αἰτίου προσρήσεσιν
τῇ θεὸς καὶ τῇ κύριος οὐδ' ἑτέραν νῦν παρείληφεν ἀλλὰ τὴν δεσπότου λείαν εὐλαβῶς καὶ σφόδρα καιρίως · καίτοι συνώνυμα ταῦτ' εἶναι λέγεται · κ[ύριος] καὶ δεσπότης ἀλλ' εἰ καὶ τὸ ὑποκείμενον ἓν 20
καὶ ταὐτόν ἐστιν. ἐπινοίαις κεκλῆσθαι διαφέρουσι · κύριος μὲν [γὰρ] παρὰ τὸ κῦρος ὃ δὴ βέβαιον
ἐστιν εἴ[ρηται] κατ' ἐναντιό[τητα] ἀβεβαίου καὶ ἀκύρου · δεσπό[τη]ς δὲ παρὰ τὸν δεσμὸν ἀφ' οὗ τὸ
[δέος οἶ]μαι · ὥστε τὸν δεσπότην [κύριον εἶ]ναι καὶ ἔτι ὡσανεὶ φοβερὸν [κύριον οὐ] μόνον τὸ κῦρος
καὶ τὸ κράτος [ἀνημμ]ένον ἁπάντων. ἀλλὰ καὶ δέ[ος καὶ φό]βον ἱκανὸν ἐμποιῆσαι · τάχ̣α [μέντο]ι
καὶ ἐπειδὴ τ[ῶν ὅλω]ν δεσμῶν [ἐστὶ σ]υνέχ̣ων αὐτὰ ἄλυτα καὶ σφίγγων [διαλύο]ντα ἐξ ἑαυτῶν · ὁδὲ 25
δὲ φάσ[κων δ]έσποτα [τί] μοι δώσεις δυνάμει ταῦτα διεξέρχ̣εται · [οὐ]κ ἀγνοῶ σου τὸ ὑπερβάλλον
κ[ράτος ·] ἐπίσταμαι τὸ φοβερὸν τῆς [δυνασ]τείας δεδιὼς [καὶ τρέμων ἐντυγχ̣άν]ω καὶ πάλιν θ[αῤῥῶ Col. b.
σὺ γὰρ δέσπ]ισάς μοι μὴ φοβ[εῖσθαι σύ μοι γλῶσ]σαν παιδείας ἔ[δωκας τοῦ γνῶνα]ι ἡνίκα δεῖ

1. χρῶνται θεῷ, οἰδὲ... — 2. μήποτε ἀποθ. — 4. τὸ μὲν γάρ. — pour αφῆς — 5. βίβλου σου — μὴ ἐγὼ ἐν γ. — 6. ἔτεκον αὐτόν ὅτι.. — ..σου καθὰ αἴρῃ τιθηνὸς τὸν... — 7. ὅτι κλαίει ἐπ. — 8. Le papyrus a ̈το οψος, c'est-à-dire avec τ biffé et gardant par conséquent intentionnellement οψος au lieu de οψον. — 10. ἀφ' οὗ πεπόρευμαι λαλ. πρ. Φ. ἐπὶ τῷ σῷ ὀν. — ἐρύσω pour ἐῤῥύσω. — 11. ἐν μέρει au lieu de εαν μερει. — 12. τὸ δὲ ἀποφαίνεσθαι καὶ πρὸς θ. θαῤῥῆσαι τοῦτο δ' ἄρα πέρας ἦν οὐ τόλ. ἁπλῶς, ἀλλά... — Pap. προ θεον εθ. σουτον αρα... — 13. Pap. τον par attraction de la finale du mot suivant. — 14. Pap. προ. — πρὸς τὸν ἑαυτ. — 16. προσφέρεσθαι. — Pap. φιλους par attraction du mot précédent. — 18. τὸ δὲ ὦ δέσποτα εὐλάβειαν. — χ̣ρῆσθαι διτ. αἰτίαις ἐπ. τ. αἰτ. καὶ προσρ. τῇ τε τοῦ θεοῦ καὶ τῇ τοῦ κυρίου οὐδ. — 19. κυρίως. — 20. κ. καὶ ὁ δ. — 21. ἐπ. αἱ κλήσεις διαφ. — 22. Om. τό. — 23. Pap. ω ανει. — 25. τῶν ὅλ. δεσπότης ἐστ. — ἃ διαλύεται. — 26. Om. δὲ. — Pap. δωμει. — Pap. του ὑπ. à cause de σου qui précède. — 28. ἐθέσπισάς μ. Turnèbe. ὁ θεσπ. — δέδωκας.

φθέγξ[εσθαι σὺ τὸ στόμα ἀ]περαμμένον ἐ[ξέλυσας σ]ὺ δ[ιο]ίξας ἐπιπλεῖστον ἤ[ρθρασα]ς · σὺ τὰ λεκ-
> τεία συνεβίβα[σας] εἰπεῖν · τὸν χρησμὸν βεβαιούμενος ἐκεῖνον : ἐγὼ ἀνύξω τὸ στόμα σου · καὶ
> συμβιβάσω σε ἃ μέλλεις λαλήσειν · τίς γὰρ ἐγενόμην ἵνα σὺ μοι λόγου μεταδῷς · ἵνα μισθὸν
ὁμολογῆς χάριτος καὶ δωρεᾶς ἀγαθὸν τελεώτερον οὐ τῆς πατρίδος εἰμὶ μετανάστης οὐ τῆς συγγε-
5 νείας ἀπελήλ[αμαι] οὐ τῆς πατρῴας οἰ[κίας] ἠλλοτρίωμαι · οὐκ ἀποκήρυκτον καὶ φυγάδα πάντες
ἔρημὸν καὶ ἄτιμον ὀνομάζουσιν · ἀλλὰ σύ μου δέσποτα ἡ πατρὶς ἡ συγγένεια ὁ μέγ[ας] καὶ ἀοίδι-
μος καὶ ἀναί[ρε]τος κλῆρος · διὰ τί οὖν οὐχὶ θαῤῥήσω λέγειν ἃ φρονῶ · διὰ τί δ' οὐ πεύσομαι
μαθεῖν τι πλέον ἀξιῶν ἀλλ' ὁ λέγων ἐγὼ θαῤῥεῖν. πάλιν ὁμολογῶ δεδιέναι καὶ καταπεπλῆχθαι ·
Pag. V, col. a. καὶ οὐκ ἔχειν τὴν ἄμεικτον ἐν ἐμοὶ μάχην. φόβ[ον] τ[ε] καὶ θάρσος (Ε)ὡς ἴσως ὑπολήμ-
10 [ψετα]ι τις ἀλλὰ τὴν ἀνακεκραμέ[νην σ]υμφωνεί[αν] ἀ[πλήστως οὖν] εὐωχοῦμαι τοῦ κρ[άματος ὅ
με] ἀναπέπεικε μήτε ἄνευ [εὐλαβείας παῤῥη]σιάζεσθαι μ[ήτε ἀπ]αῤῥησιάστως εὐλαβεῖσθαι · τὴν
γὰρ οὐδένειαν τὴν ἐμαυτοῦ μετρεῖν ἔμαθον · καὶ τὰς ἐν ὑπερβολαῖς ἀκρότητας τῶν σῶν ἀρετῶν περι-
βλέπεσθαι · καὶ ἐπιδὰν γῆν καὶ τέφραν καὶ εἴ τι ἐγβλητότερον ἐμαυτὸν αἴσθωμαι. τηνικαῦτα ἐντυγ-
χάνειν συ θαῤῥῶ · ταπεινὸς γεγονὼς καταβεβλημένος εἰς χοῦν ὅσα εἰς γε τὸ μὴ ὑφιστάναι δοκεῖν
15 ἀνεστοιχειωμένος · καὶ τοῦτό μου τὸ πάθος τῆς ψυχῆς ἐστηλογράφησεν ἐν τῷ ἐμῷ μνήμειῳ ὁ
ἐπίσκοπος Μοῦσῆς · ἐγγίσας γὰρ φησὶ Ἀβραὰμ εἶπεν · νῦν ἠρξάμην λαλῆσαι πρὸς τὸν κύριον ἐγὼ
δὲ εἰμι γῆ καὶ σποδὸς ἐπειδὴ τότε καιρὸς ἐντυγχάνειν γένεσιν τῷ πεποιηκότι. πλὴν ὅτε τὴν ἑαυτῆς
οὐδένειαν ἔγνωκεν τὸ δὲ τί μοι δώσεις · οὐκ ἀποροῦντος ἐστι φώνηι μᾶλλον ἢ ἐπὶ τῷ πλήθει καὶ
Col. b. μεγέθει ὧν ἀπέλαυσεν ἀγαθῶν εὐχαριστοῦντος · τί μοι δ[ώσεις] · εἰ γὰρ ἀπολείπεταί τι π[λέον
20 προς]δοκῆσαι · ἄφθονοι μὲν ὦ φιλόδωρε αἱ σαὶ χάριτες καὶ απερίγραφοι καὶ ὅρον ἢ τελευτὴ[ν οὐκ
ἔχου]σαι [πη]γῶ[ν τρόπον τελείων] τῶν ἀπαντλ[ου]μένων ἀναμβρούσαι · σκοπεῖν δὲ ἄξιον οὐ μόνον
τὸν αἰεὶ πλημυρόντα. χειμάῤῥουν τῶν σῶν εὐεργεσιῶν · ἀλλὰ καὶ τὰς ἀρδομένας ἡμῶν ἀρούρας · εἰ
γὰρ περιττὸν ἀναχυθείη τὸ ῥεῦμα λειμνῶδες καὶ τελματῶδες ἀντὶ καρποφόρου γῆς ἔσται τὸ πεδίον
πρὸς εὐφορίαν οὐ μεμετρημένης ἀλλ' οὐ ἄμετρον δεῖ τῆς ἐπιῤῥοιῆς ἐμοί · διὸ πεύσομαι τί μοι
25 δώσεις ἀμύθητα δοὺς καὶ σχεδὸν πάντα ὅσα θνητὴν φύσιν χωρῆσαι ἀδύνατον ἦν ὁ γὰρ λοιπὸν ἐπι-
ζητῶ μαύειν τε καὶ κτήσασθαι τοῦτο ἔστιν · τίς ἂν γ[ένο]ιτο ἄξιος τῶν σῶν εὐεργησιῶν [καὶ] κλη-
ρονόμος. ἢ ἐγὼ ἀπ[ολυ]θήσομαι ἄτεκνος ὀλιγοχ[ρό]νιον καὶ ἐφήμερον καὶ ὠκύμωρον λαβὼν ἀγαθὸν
ε[ὐχό]μενος τοὐναντίον πο[λυή]μερον καὶ μακροχρόνι[ον καὶ] ἀκαίρατον καὶ ἀθάνατον ὡς δυνηθῆναι
καὶ σπέρματα βαλέσθαι καὶ ῥίζας ἐχυρότητος ἕνεκα [ἀποτ]εῖναι καὶ ἄνω πρὸς οὐρανὸν τὸ στ[έλεχ]ος

1. φθέγγεσθαι. — Pour ἀπεῤῥαμμένον. — ἐπιπλέον. — 2. Pap. χρημων. — 4. Pour τελειότερον. — 6. ἔρ. τε κ. — σύ μοι δ. — σὺ ἡ συγγ. σὺ ἡ πατρῴα ἑστία, σὺ ἡ ἐπιτιμία, ἡ παῤῥησία ὁ μέγ. — Pour κλῆρος : πλοῦτος. — τί οὐ πεύσ. — 9. Pap. om. μάχην. — 10. Pap. ευχομαι. — 12. Pap. ακροτητα. — Pour ἀρετῶν : εὐεργεσιῶν. — 14. pour συ = σοι, voir Préf. — 14. Pap. χθην — τὸ μηδ' ὑφεστάναι. — 15. Pap. ανεστοχειωμενος. — Pap. ψυχην. — μνήμονι ἐπίσκ. Ἀβραάμ ἐγγίσ. — 16. λαλεῖν π. κ. — 17. Om. πλὴν. — 18. φώνημα. — 19. ἀπήλαυκεν. — 20. ἄφθ. μὲν γάρ. — Pap. αωριγραφοι. — ἢ και τ. — 21. ἀναβρύουσαι — 22. πλημμυροῦντα. — 24. ου γὰρ μ. ἀλλ' οὐκ ἀμέτρου δ. — Turnèbe οὐ μ. ἀλλ' οὐ κατὰ μέτρον δ. — ἐπιῤῥοῆς. — 26. Pour μαύειν : σχεῖν. — Pour εὐεργησιῶν : ἔργων. — 27. Om. ἢ. — 28. πολυχρόνιον. — 29. ὀχυρότητος.

[ἀνεγείρ]ων μετεωρίσαι · τὴν γὰρ [ἀνθρω]πίνην ἀρετὴν βαίνειν μὲν ἐπὶ γῆς φθάνειν δὲ πρὸς οὐ[ρα- Pag. VI, col. a.
νὸν] [ἀναγκαῖον ἵ]ν' ἐκεῖ τῆς ἀφθαρσίας [ἑστιαθεῖσα τὸ]ν ἀεὶ κρόνον ἀπήμων διαμένῃ ἄτεκνον γὰρ
καὶ στείραν οἶδα ὅτι ψυχὴν ὁ τὰ μὴ ὄντα φέρων καὶ τὰ πάντα γεννῶν μεμείσηκας · [1] καὶ ἐπὶ χάριν
ἔδωκας ἐξαιρέτων τῷ διορατικῷ γένει, τὸ μηδέποτε σπηρωθῆναι καὶ ἀτοκ[ῆσαι, ᾧ καὶ α]ὐτὸς προσνε-
μηθεὶς ἐφίεμαι κληρονόμου δικαίως · ἄσβεστον γὰρ αὐτὸ καταθεώμενος, αἴσχιστον εἶναι νομίζω τὴν 5
ἐμαυτῷ φύ[σιν] τοῦ καλοῦ περιϊδὼν καταλυ[θεῖ]σαν · ἱκέτ[ης οὖ]ν γίνομαι καὶ ποτνιῶμαι, [ἵνα σπε]ρ-
μάτων κ[αὶ] ἐμπυρευμάτων ὑποτυφωμένων, τ[ὸ ἀ]ρετῆς [ἀ]νακαίηται καὶ ἀ[ναφλέγηται σω]τήριον
φέγγ[ος, ὁ] λαμ[παδευ]όμενον ἐπαλλήλοις δια[δο]χαῖς ἰσοχρόνιον γενήσεται κόσμῳ · ζῆλον καὶ τοῖς
ἀσκητικοῖς ἔδωκας τέκνων τῶν ψυχῆς σπορᾶς καὶ [γεν]έσεως, τε καὶ μοῖραν θέν[τες] ὑφ' ἡδονῆς ἐξε-
λήλασαν εἰπόντες, τὰ παιδία οἷς ἠλέησεν ὁ θεὸς τὸν παιδά σου, ὧν ἀκακία καὶ τροφῆς τιθήνη, ὧν 10
ἄβατοι καὶ ἀπαλαὶ καὶ εὐφυεῖς ψυχαί, τῶν ἀρετῆς παγ[κάλων καὶ] θεοειδεστάτων [εὐπαράδεκτοι] Col. b.
χαρακτήρων · δίδαξον δὲ [με. κάκ]εῖνο, εἰ ὁ υἱὸς Μασὲκ τῆς οἰ[κογενο]ῦς μου, τῶν σῶν χαρίτων [ἱκα-
νὸς] γενέσθαι κληρονόμος [ἐστίν, ἐγὼ γὰρ] ἄχρι νῦν τὸν μὲν ἐλπιζό[μεν]ον οὐκ ἔλαχον. ὃν δ' ἔλαβον,
οὐκ ἐλπίζω. τίς δὲ ἡ Μασὲκ, καὶ τίς αὐτῆς ὁ υἱός, οὐ παρέργως σκεπτέον. ἑρμηνεύεται τοίνυν Μασὲκ,
ἐκ φιλήματος · φίλημα δὲ διαφέρει τοῦ φιλεῖν. τὸ μὲν γὰρ ψυχῶν ἐν ὡσὶν ἁρμοζομένης εὐνοίας, τὸ δὲ 15
ἐπιπόλεον καὶ ψειλὴν δεξίωσιν, χρείας τινὸς εἰς ταὐτὸ συναγαγούσης, ἔοικεν ἐμφαίνειν · ὥσπερ γὰρ ἐν
τῷ ἀνακ[ύπ]τειν οὐκ ἔστι τὸ κύπτειν, οὐδὲ ἐν τῷ καταπίνειν ἦν πάντως τὸ πίνειν, οὐδὲ ἐν μαρσίππῳ
ἵππος, οὕτως οὐδὲ ἐν τῷ καταφιλεῖν τὸ φιλεῖν. ἐπεὶ καὶ τῶν ἐχθρῶν μυρίους, εἴκοντες ταῖς τοῦ βίου
χαλεπαῖς ἀνάγκαις δεξιοῦνται. τίς οὖν ἐστὶν ἡ ἐκ φιλήματος, ἀλλὰ μὴ ἐξ ἀψευδοῦς φιλίας ἡμῖν
συσταθεῖσα, φράσω μη[δὲν ὑπ]οκρυψάμενος. ἡ ζωὴ ἡ σὺν αἰσθήσει, ἡ πᾶσιν ὠχυρωμένη, ἧς ἀνέραστος 20
οὐδεὶς, ἣν δέσποιναν μὲν οἱ πολλοὶ, θεράπαιναν δὲ οἱ ἀστεῖοι νομίζουσιν, οὐκ ἀλλόφυλον ἢ ἀργυρώνη-
τον, ἀλλ' οἰκογενῆι καὶ τρόπον τινὰ ὁμόφυλον. οὗτοι καὶ πεπαίδευνται καταφιλεῖν αὐτὴν, οὐ φιλεῖν,
ἐκεῖνοι δὲ ὑπερφυῶς ἀγαπᾶν, καὶ τριπόθητον ἡγεῖ[σθαι]. Λάβαν δὲ ὁ μεισ[άρετος οὐδὲ καταφιλῆσαι] Pag. VII, col. a.
δυνήσ[εται τὰς προσκεκληρωμέ]νας τῷ [ἀσκητικῷ δυνάμεις], ἀλλ' ὑπ[οκρίσεως καὶ ψευδῶν] πλασ-
μά[των ἀνη]ρτηκὼς τὸν ἑα[υτοῦ βίον], ὡ[σανεὶ] δυσχεραίνων, οὐ πρὸς ἀλήθειαν ἀλγῶν, φησὶν, οὐκ 25
ἠξιώθην καταφιλῆσαι τὰ παιδία μου, καὶ τὰς θυγατέρας · εἰκότως γε καὶ προσηκόντως. εἰρωνείαν γὰρ
μισεῖν ἀκαταλλάκτως ἐπαιδεύθημεν · ἀγάπησον οὖν ἀρετὰς, καὶ ἄσπασαι ψυχῇ τῇ σεαυτοῦ, καὶ φίλη-
σον ὄντως καὶ ἥκιστα βουλήσει τὸ φιλίας παράκομμα ποιεῖν καταφιλεῖν. μὴ γὰρ [ἐστ]ιν αὐταῖς ἔτι
μερὶς ἢ κληρονομία ἐν τῷ σῷ οἴκῳ; οὐχ ὡς αἱ ἀλλότριαι ἐλογίσθησαν παρὰ σοί; ἢ οὐ πέπρακας αὐτὰς

3. Pap. σπειραν. — 4. ἐξαίρετον. — pour στειρωθῆναι. — 6. περιϊδεῖν. — 8. ἰσόχρονον. — 9. τῆς ψ. — γ. κ. μοιραθέντες. — 10. Pour ἐξελάλησαν. — ἐλέησεν ὁ θεὸς τὸν δοῦλόν σ. ὧν ἀποίκια καὶ τροφὸς καὶ τιθηνὸς ὧν... — 14. ἐπισκεπτέον. — 15. ψυχ. εὕρεσιν ἁρμοζομένων εὐνοίᾳ. — 16. τιν. ἐς ταὐτὸν συναγούσης. — 17. Pap. om. οὐκ ἔστι τ. κύπ. — Om. ἦν πάντως. — 18. ὁ ἵππος. — Pap. om. τὸ φιλεῖν. — εἴκ. τινες ταῖς... — 19. τίς δ' ἐστ. — Pap. a φηλματος avec une correction φιλ... — 20. συντεθεῖσα. — ὑποστειλάμενος pour ὑποκρυψ. — πᾶσα ὠχ. Notre version ne favorise pas la conjecture de Mangey : Μασὲκ προσαγορευομένη... — 21. Pap. θεραπανια α δε... — 23. περιπόθητον. — 25. οὐ γὰρ πρός. — 26. καταφιλεῖν. — 27-28. Om. φιλητον οντως. — 28. Pour βουλήσῃ. — 29. Om. αἱ.

1. A partir de cette ligne, le manuscrit est sans ponctuation.

καὶ κατέφαγες τὸ ἀργύριον ἵνα μηδ' εἰσαῦθις ἀνακομίσασθαι, δυνηθῆς λύτρα καὶ σῶστρα κατεδηδοκώς;
προσποιοῦ νῦν βούλεσθαι καταφιλεῖν· ὁ πᾶσι τοῖς κριταῖς ἄσπονδος, ἀλλ' οὐκ Ἀαρὼν καταφιλήσει
Μοῦσὴν, ἀλλ' ἀπὸ γνησίου τοῦ ψυχῆς πάθους φιλήσει. ἐφίλησε γὰρ, φησὶν, αὐτὸν, καὶ ἠσπάσαντο ἀλλήλους. ζωῆς δὲ τριττὸν γένος, τὸ μὲν πρὸς θεὸν, τὸ δὲ πρὸς γένεσιν, τὸ δὲ μ[εθό]ριον μικτὸν ἀμφοῖν. τὸ μὲν
Col. b. 5 οὖν πρὸς θεὸν, οὐ κατέβη [πρὸς ἡ]μᾶς, οὐδὲ ἦλθεν εἰς τὰς σώματος ἀνά[γκας. τὸ δὲ] πρὸς γένεσιν, οὐδὲ
|ὅλως ἀνέβη], οὐδὲ ἐζήτησεν ἀν[αβῆναι, φω]λεῦον δὲ ἐν μυχοῖς [αὐτοις, τῷ] ἀβιώτῳ βίῳ χαίρει. [τὸ δὲ μι]κτὸν ἐστι, ὃ πολλά[κις μὲν] ὑπὸ τῆς ἀμείνονος ἀγόμενον τάξεως, θειάζει καὶ θεοφορεῖται, πολλάκις δ' ὑπὸ τῆς χείρονος ἀντισπώμενον ἐπιστρέφει. τοῦτ' ὅταν ὥσπερ ἐπὶ π[λάστιγγος ἡ]τῆς κρείττονος [ζωῆς μο]ῖρα τοῖς ὅλοις περιττὰ [βρίσ]ῃ, συνεπισπασθὲν τὸ [τῆς ἐν]αντίας ζωῆς ἀντήεν [βά]ρος κου-
10 φότατον ἄχθ[ος ἀπ]έφηνε. Μωϋσῆς τὸ τῆ[ς πρὸ]ς θεὸν ζωῆς γένος ἀκον[ιτὶ σ]τεφανώσας εἰς ἐπίκρισ[ιν τ]ὰ λοιπὰ ἄγειν δυσὶν ἀπεικάζων γυναιξὶν, ὧν τὴν μὲν ἀ[γα]πωμένην, τὴν δὲ μεισουμένην [καλ]εῖ, προσφυέστα[τα θεὶς] ὀν[όματα]. τίς γὰρ οὐ τὰς δι' ὀ[φθ]αλμῶν, τίς δὲ οὐ τὰς δι' ὤτων, τίς δ' οὐ τὰς διὰ γεύσεως, ὀσφρήσεώ[ς τε] καὶ ἁφῆς ἡδονὰς καὶ τέρ[ψεις] ἀποδέχεται; τίς δ' οὐ τὰ [ἐναν]τία μεμείσηκεν ὀλ[ιγόδει]αν, ἐγκράτειαν, αὐστη[ρὸν καὶ] ἐπιστημονικὸν βίον, [γέ]λωτος καὶ παιδιᾶς ἀμέ[το]χον,
Pag. VIII, col. a. 15 συνοφίας καὶ φροντίδων καὶ πόνων μεστὸν, φίλον (Η) [τοῦ θεω]ρεῖν, ἀμαθίας ἐχθρὸν, χρημάτων μὲν καὶ δόξης [καὶ ἡδονῶν κρείττω, ἥτ]τωι δὲ σωφροσύνης καὶ εὐκλείας, καὶ βλέποντος οὐ τυφ[λοῦ π]λούτου; πρεσβύτερα μὲν οὖν ἀεὶ [τὰ γ]εννήματα. τῆς μεισουμένης ἀρετῆς ὁ δὲ Μωϋσης, εἰ δὲ καὶ νεώτερα χρόνῳ, καὶ ταὐτὰ φύσει πρεσβείων ἀξιοῖ, τὰ διπλᾶ διδοὺς, τῶν δὲ ἀφαιρῶν τὴν ἡμίσειαν. ἐὰν γὰρ γένωνται, φησὶν, ἀνθρώπῳ δύο γυναῖκ[ες, ἀγα]πημένηι καὶ μεισου[μένηι, καὶ] τέκωσιν ἀμφότερ[αι,
20 μέλλ]ων τὰ ἑαυτοῦ διανέμ[ειν, οὐ] δυνήσεται πρεσβίων ἀξ[ιῶσαι] τὸν υἱὸν τῆς ἠγαπημ[ένης, ἡ]δονῆς. νέος γὰρ οὕτως, [εἰκ]αὶ χρόνῳ παλιὸς γένοιτο· ἀλλὰ τὸν τῆς μισουμένης φρονήσεως πρεσβύτερον, ἐκ παίδων εὐθὺς ὄντα, ὡς διμοιρείαν ἀπόνειμαι. τὴν δὲ τροπικωτέραν τούτων ἀπόδοσιν ἐν ἑτέροις εἰρηκότες ἐπεὶ τὰ ἀκόλουθα τῶν ἐν χερσὶ τρεψόμεθα, ἐκεῖνο προυποδείξαντες, ὅτι τῆς μει[σου]μένης ὁ θεὸς λέγεται τὴν [μή]τραν διοίξας, γένεσιν [ἀστ]είων ἐπιτηδευμάτων καὶ καλ[ῶν] ἔργων ἀνατεῖλαι,
Col. b. 25 τῆς φιλεῖσθαι νομιζομένης αὐτίκα στειρουμένης. ἰδὼν γὰρ, φησὶν, κύριος ὅτι, μεισεῖτ[αι Λεία, ἤνοιξε] τὴν μήτρ[αν] αὐτῆς. [Ῥαχὴλ δ' ἦν] στεῖρα. ἆρα οὐχ ὅτ[αν ἡ ψυχὴ κυοφορῇ, καὶ τίκτειν [ἄρχηται] τὰ ψυχῇ πρέποντα, τὴν[ικαῦτα] ὅσα αἰσθητὰ στειρούμενα ἀτοκεῖ, οἷς πρόςεστιν ἡ ἐκ φιλήμα[τος] ἀλλ' οὐχ ἡ διὰ γνησίου φιλίας ἀποδοχή; ταύτης οὖν τῆς κατ' αἴσθησιν διαδοχῆς ζωῆς ἣν καλεῖ Μασὲκ: υἱὸς ἕκαστος ἡμῶν ἐστιν τιμῶν καὶ θαυμάζων τὴν τροφὸν καὶ τιθήνην καὶ τοῦ θνητοῦ γένος αἴσθησιν

1. Pap. κατ. γαρ αργ. — τὰ σ. καὶ τὰ λ. — 2. οὖν βούλ. — ἢ πᾶσι τ. κρ. ἀσπονδεῖν. — 3. Μοϋσέα. — τοῦ τῆς ψ. — 4. Pap. γεν. πᾶς μεθ. — 6. Om. ἐν. — 7. μὲν ἀνέβη ὑπό... Turn. concorde avec Pap. — θει. τε καὶ. — 9. Om. περιττά. — Om. αντηεν. — 10. Μ. δὲ τὸ τ. — εἰς ἐπ. ἄγει. τὰ λοιπὰ δυσίν... — 12. θ. ὀν. προσφ. — 15. Pap. εχθρων χρηματω μεν... — 17. ἀεὶ τῆς φρονήσεως τὰ γεν. ὁ δὲ Μωϋσῆς... Pap. οι δε Μουσ... — 18. χρ. τὰ φύσει τίμια πρεσβ. Turn. χρ. τὰ φύσει πρεσβ. ἀξ. — 19. ἀγαπωμένη. — 21. αὖτος ἐγένετο. — 22. ᾧ διμ. — Om. ἀπόνειμαι. — Pap. αποδωσις. — 23. Al. τρεψωμεθα. — 24. Pap. λεγειται. — Pap. προσυποδειξαντες. — 26. Pap. σπειρα. — 27. Pap. σπειρούμενα. — καταφιλήματος (Pap. η εμφιληματος). — 28. ἐκ γν. φιλήματος ἀπ. Pap. αποδοχης. — Om. διαδοχῆς. — 29. τιθηνὸν τοῦ θνητοῦ γένους αἴσ.

ἦν καὶ ὁ γήϊνος νοῦς, ὄνομα Ἀδὰμ, ἰδὼν διαπλασθεῖσαν, τὸν ἑαυτοῦ θάνατον ζωὴν ἐκείνην ὠνόμασε.
ἐκάλεσεν γὰρ, φησὶν, Ἀδὰμ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ ζωήι, ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων,
τῶν πρὸς ἀλήθειαν τεθνηκέτων δήπου βίον. οἱδὲ ζῶντες ὄντως μητέρα μὲν ἔχουσι σοφίαν, αἴσθησιν
δὲ δούλην, πρὸς ὑπηρεσίαν ἐπιστήμης ὑπὸ φύσεως διμιουργηθεῖσα[ν. ὄνομ]α δὲ τοῦ γεννηθέντος ἐκ
ζωῆς, ἣν ἐκ φιλήματος ἐγνωρίσαμεν, διασυνίστησι δαμασκὸς, τόδε μεταλημθὲν ἔστιν, αἷμα σάκκου · 5
σφόδρα δυνατῶς καὶ εὐθυβόλως σάκκον μὲν τὸ σῶμα αἰνιξάμενος, αἷμα δὲ ζωὴν τὴν ἔναιμον. ἐπειδὴ
γὰρ ψυχὴι διχῶς [λέγ]εται, ἥτε ὅλη(ι (Θ)καὶ τὸ ἡγεμονικὸν αὐτῆς μέρος, ὃ, κυρίως εἰπεῖν, ψυχὴ Pag. IX, col. a.
ψυχῆς ἔστιν, καθάπερ ὀφθαλμὸς ὅ τε κύκλος σύμπας καὶ τὸ κυριώτατον μέρος τὸ ᾧ βλέπωμεν, ἔδοξε
τῷ νομοθέτῃ διττὴν καὶ τὴν οὐσίαν εἶναι ψυχῆς, αἷμα μὲν τῆς ὅλης, τοῦδ' ἡγεμονικωτάτου πνεῦμα
θεῖον φησὶ γοῦν ἄντικρυς, ψυχὴι πάσης σαρκὸς, αἷμά ἐστιν · εὖ τὸ προσνεῖμαι τῷ σαρκῶν ὄχλῳ τὴν 10
αἵματος ἐπιροὴν, οἰκεῖον οἰκείῳ · τοῦ δὲ νοῦ τὴν οὐσίαν ἐξ οὐδενὸς ἤρτησεν γεννητοῦ, ἀλλ' ὑπὸ θεοῦ
καταπνευσθεῖσαν εἰσήγαγεν. ενεφύσησε γὰρ, φησὶν, ὁ ποιητὴς τῶν ὅλων εἰς τὸ πρόσωπον αὐτοῦ
πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζωῆς, εἰ καὶ κατὰ τὴν εἰκόνα τοῦ ποιητοῦ λόγος ἔχει
τυπωθῆναι · ὥστε διττὸν εἶδος ἀνθρώπων, τῷ μὲν θείῳ πνεύματι λογισμῷ βιούντων, τῷ δὲ αἵματι καὶ
σαρκὸς ἡδονῇ ζών[των] · τοῦτο τὸ εἶδός ἐστιν πλ[άσμα] γῆς, ἐκεῖνο δὲ θείας εἰκόνος ἐμφερὲς ἐκμαγεῖον. 15
χρεῖος δ' ἐστιν οὐ μετρίως ὁ πεπλασμένος ἡμῶν χοῦς καὶ ἀναδεδευμένος αἵ[ματι], βοηθείας τῆς ἐκ
[θεοῦ] · διὸ λέγεται, οὗτος δαμασκ[ὸς Ἐ]λιέζερ. ἑρμηνευθεὶς δέ [ἐστιν] Ἐλιέζερ θεός μου βοηθὸς · ἐπειδὴ
ἔναιμος ὄγκ[ος] ἐξ ἑαυτοῦ [διάλυτος ὢν] καὶ νεκρὸς, συν[έστηκε καὶ] ζωπυρεῖται [προνοίᾳ θεοῦ τοῦ Col.
τὴν χε]ῖρα ὑπέ[χοντος καὶ ὑπερασπάζ]οντος, μη[δε]μίαν ἡμέραν ἱδρυθῆναι παγίως δυνηθέντος ἐξ ἑαυ-
τοῦ γένους ἡμῶν. οὐχ ὁρᾷς ὅτι καὶ Μωϋσέως ὁ δευτέρος τῶν υἱῶν ὁμωνυμεῖ τούτῳ; τὸ γὰρ ὄνομα, 20
φησὶν, τοῦ δευτέρου, Ἐλιέζερ. καὶ τὴν αἰτίαν ἐπιφέρει, ὁ γὰρ θεὸς τοῦ πατρός μου βοηθός μου, καὶ ἐξεί-
λατό με ἐκ χειρὸς Φαραώι. τοῖς δ' ἔτι τῆς ἐναίμου καὶ αἰσθητῆς ζωῆς ἑταίροις ἐπιτίθεται ὁ σκεδάσαι
τὰς θεοσεβείας δεινὸς τρόπος, ὄνομα Φαραὼι, οὗ τὴν παρανομίας καὶ ὠμότητος μεστὴν δυναστείαν
ἀμήχανον ἐκφυγεῖν, ἄνευ τοῦ γεννηθῆναι τὸν Ἐλιέζερ ἐν ψυχῇ, καὶ ἐπελπίσαι τὴν παρὰ τοῦ μόνου
σωτῆρος θεοῦ βοήθειαν. παγκάλως δὲ τὸν δαμασκὸν οὐκ ἀπὸ πατρὸς, ἀλλ' ἀπὸ μητρὸς τῆς Μασὲκ 25
διασ[υν]έστησεν, ἵνα διδάξῃ ὅτι ἡ [ἔναι]μος ψυχὴι, καθ' ἣν ζῇ καὶ τὰ [ἄλο]γα, τοῦ πρὸς γυναικῶν
μη[τρῴ]ου, γένους οἰκεῖόν ἐστιν, ἄῤῥενος γενεᾶς ἀμέτοχον. ἀλλ' οὐχ [ἡ ἀρε]τὴ Σάῤῥα · μόνου γὰρ τοῦ
πρὸς ἀνδρῶν μεταποιεῖται, ἐκ πατρὸς τοῦ πάντων θεοῦ μόνου γεννηθεῖσα ἡ ἀμήτωρ ἀρχὴ. ἀληθῶς
γὰρ, φησὶν, ἀδελφή μού ἐστιν ἐκ π(α)τρ[ὸς, ἀ]λλ' [οὐ]κ [ἐκ μητ]ρός. ἃ μὲν οὖ[ν ἦν ἀ]ναγκ[αῖον προα- Pag. X, col. a
κ]οῦσαι, διεπτύ[ξαμεν · καὶ γὰρ εἶ]χεν ἀσάφειαν ἡ [πρότασις αἰνι]γματώδη. τ[ί δὲ ὁ φιλομαθὴς] ζητεῖ, 30
διερμηνευτέ[ον ἀκρ]ιβέστερον. μήποτ' οὖν ἐστι τοιοῦτον. εἰ [δύν]αταί τις ἐφιέμενος τῆς ἐναίμου ζωῆς,

1. ζωὴν ἐκείνης. — 2. Ἀδ. ὄν. γυν. αὐτ. ζωήν. — 3. Pour τεθνηκότων. — Om. δηπου. — 5. δαμασκόν. — 8. βλέπομεν. — 9. διπλῆν εἶναι καί... τῆς ψ. — Al. εἶν. τῆς ψ. αἷμ. μὲν τὸ τῆς... — 10. σαρκός. — 11 γεν., ἀπὸ θεοῦ δ' ἄνωθεν καταπ. — 13. πν. ζῶσαν. — ἣν καὶ κατά. Turn. ᾗ καὶ κ. d'accord avec le Papyrus où ει vaut souvent η. — 14. διτ. εἶναι γένος ἀνθ. τὸ μὲν θ.... τὸ δὲ αἷμ. — 17. ὁ θεός. — 18. ὁ ἔναιμος. — εὐδιάλυτος. — 19. ὑπερέχ. Turn. ὑπέχ. — ὑπερασπίζοντος. — 20 τοῦ γένους. — Pap. ορᾶις. — 21. Om. τοῦ πατρός μου. — ἐξείλετό. — 22 ὁ τ. θεοσ. σκεδ. δειν. — 25. Om. θεοῦ. — 26. ἵνα δείξῃ — Pap. καιθην. — 27. ἀμέτοχος. — 28. μεταπεποίηται.

καὶ μεταποιούμενος ἔτι τῶν κατ' αἴσθησιν, γενέσθαι τῶν ἀσωμάτων καὶ θείων πραγμάτων κληρονόμος; τούτων μόνος ἀξιοῦται ὁ καταπνευσθεῖς ἄνωθεν, οὐρανίου τε καὶ θείας μοίρας ἐπιλαχὼν, ὁ καθαρώτατος νοῦς, ἀλογῶ[ν ο]ὐ μόνον σώματος ἀλλὰ [καὶ] ἑτέρου ψυχῆς τμήματος, ὅπερ ἄλογον ὑπάρχον αἵματι πέφυρται, θυμοὺς ζέοντας καὶ πεπυρωμένας ἐπιθυμίας ἀναφλέγον. πυνθάνεται γοῦν τὸν τρόπον τοῦτον, ἐπειδὴ ἐμοὶ οὐκ ἔδωκας σπέρμα τὸ νοητὸν ἐ[κεῖ]νο τὸ αὐτοδίδακτον, τὸ θε[οει]δὲς, ἆραγε ὁ οἰκογενής μου κληρονομήσει με, [ὁ] τῆς ἐν[αί]μου ζωῆς ἔγγονος; [τό]τε καὶ ἐπισπεύσας ὁ θεὸς ἔφθασεν [τὸν λαλοῦντα], τῆς ῥήσεως [προαποστεί]λας, ὡς ἔ[πος] εἰπεῖν, [διδασκα]λίαν. εὐθὺς γὰρ, φησὶν, φωνὴ θεοῦ ἐγέν[ετ]ο πρὸς αὐτὸν, [τῷ λέγειν ο]ὐ κληρονομήσει σε οὗτος, τῶν ε[ἰς τὴν δι'] αἰσθήσεως δεῖ[ξιν ἐρχομένω]ν οὐδὲ εἷς. ἀσώματοι γὰρ φύσεις, νοητῶν πραγμάτων εἰσὶν κληρονόμοι. παρατετήρηται δὲ ἄκρως τὸ μὴ εἰπεῖν ἢ ἐλάλησεν φάναι, ἀλλὰ τὸ, φωνὴ ἐγένετο πρὸς αὐτὸν, ὥσπερ εὐτόνως ἐμβοήσαντος ἀῤῥήκτως ἐνηχήσαντος· ἵν' εἰς πᾶσαν τὴν ψυχὴν διαδοθεῖσα ἡ φωνὴ μηδὲν ἐάσῃ ἔρημον καὶ κενὸν ὑφηγήσεως ὀρθῆς μέρος, ἀλλὰ πάντα διὰ πάντων ὑγιαινούσης μαθήσεως ἀναπλησθῇ. τίς οὖν γενήσεται κληρονόμος; οὐχ ὁ μένων ἐν τῇ τοῦ σώματος εἱρκτῇ λογισμὸς καθ' ἑκούσιον γνώμην, ἀλλ' ὁ λυθεὶς τῶν δεσμῶν καὶ ἐλευθερωθεὶς, καὶ ἔξω τειχ[ῶν] προεληλυθὼς, καὶ καταλελοιπώς. εἰ οἷόν τε τοῦτ' εἰπεῖν, αὐτὸς ἑαυτόν. ὃς γὰρ ἐξελεύσεται ἐκ σοῦ, φησὶν, οὗτος [κληρο]νομήσει σε. πόθος ο[ὖν εἴ τις] εἰσέρχεταί σε, ψ[υχὴ, τῶν θείων]ἀγάθῶν κ[ληρονομῆσαι, μὴ] μόνον [γῆν, τὸ σῶμα, καὶ συγγέ]νειαν, αἴσθησιν, [καὶ οἶκον πατρὸς], τὸν λόγον, καταλίπ[ῃς, ἀλλὰ καὶ] σαυτὴν ἀπόδραθι, [καὶ ἔκστη]θι σεαυτῆς, ὥσπερ ο[ἱ κατεχόμε]νοι καὶ κορυβανθι[ῶντες], βακχευθεῖσα καὶ θεοφορ[ηθεῖσα] κατά τινα προφητικ[ὸν ἐπι]θειασμὸν. ἐνθ[ου]σι[ώσης] γὰρ καὶ οὐκ ἔτ' οὔσης ἐν [ἑαυτῇ] διανο[ίας], ἀλλ' ἔρωτι οὐρ[ανίῳ] (ΙΑ)σεσοβημένης κἀκμεμηνυίας, καὶ ὑπὸ τοῦ ὄντος ὄντης ἠγμένης, καὶ ἄνω πρὸς αὐτὸν εἰλκυσμένης, προϊούσης ἀλη[θείας καὶ τὰ ἐν] ποσὶν ἀναστελλούσης, ἵνα κατὰ λεωφόρου βένοι τῆς ὁδοῦ, κλῆρος οὗτος. πῶς οὖν μετανίστασαι τῶν προτέρων ἐκείνων, λέγε θαῤῥοῦσα ἡμῖν, ὦ διάνοια, ἢ τοῖς ἀκούειν τὰ νοητὰ δεδιδαγμένοις ἐνηχεῖς, ἀεὶ φάσκουσα ὅτι μετῳκισάμην τοῦ σώματος, ἡνίκα τῆς σαρκὸς ἠλόγουν ἤδηι· καὶ τῆς αἰσθήσεως, ὁπότε τ' αἰσθητὰ πάντα ὡς τὰ πρὸς ἀλήθειαν ὄντα ἐφαντασιώθην· καταγνοῦσα μὲν αὐτῆς τῶν κριτηρίων ὡς νενοθευμένων, καὶ δεδεκασμένων, καὶ ψευδοῦς ὑποπεπλησμένων δόξης, καταγνοῦσα δὲ καὶ τῶν κρινομένων, ὡς δελεάσαι καὶ ἀπατῆσαι, καὶ ἐκ μέσης τῆς φύσεως ἁρπάσαι τὴν ἀλήθειαν εὐτρεπισμένων, μετανέστην καὶ τοῦ λόγου, ἡνίκα πολλὴν ἀλογίαν αὐτοῦ κατέγνων, καίτοι μετεωρίζοντος καὶ φυσῶντος αὐτοῦ. ἐτόλμα γὰρ τόλμημα οὐ μικρὸν, διὰ σκιῶν μοι σώματα, διὰ ῥημάτων πράγματα, ἅπερ ἀμήχανον ἦν, δεικνύν[αι]. καίτοι σφαλλόμενος περι[ελάλει κ]αὶ περιέῤῥι, κοινότητι τῶν [ὀνο]μάτων τὰς ἰδιότητα[ς τῶν] ὑποκειμενων ἀδυνατῶν

2. τούτ. ἀξ. μόν. — Pap. κατοπν. — 4. πεφύραται. — τοῦτ. τ. τρόπ. — 5. σπερ. τὸ αὐτοδ., τὸ νοητ. ἐκ. ἆρα... — Om. τὸ θεοειδές. — 10. εἶπεν. — ἐλ. αὐτῷ φάν. — φωνὴ θεοῦ ἐγ. — 11. Om. ἐμβοήσαντος. — καὶ ἀῤ. — ἔρ. ἐασ. — 13. Om. τοῦ. — 14. καταλελοιπώς rejeté à la fin de la phrase dans Richt. — 15. ὁς γὰρ φησὶν ἐξελ... — 18. καθάπερ οἱ κορυβ. και κατεχ. — 20. Om. καὶ ὑπὸ τοῦ ὄντος ὄντης ἠγμένης. — 21. Pap. αυτω. — 22. ὁδοῦ, τὸ γένεσθαι τῶν θείων κληρονόμον. πῶς οὖν μετανίστασο τῶν... — 24. ἠλ. δή. — Pap. πότε. — 26. ὑποπεπληρωμένων. — 27. Pap. ευτρεπισμενον. — 28. φυσ. ἑαυτόν. — 29. δεικ. τοιγαροῦν περιέῤῥει τοῖς σφαλλομένοις καὶ περιελ. (Pap. περιερρι pour περιερρει).

[ἐμφά]σει τρανεῖ παραστῆ[σαι]. παθοῦσα [δὲ ὡ]ς ἄφρω[ν καὶ νή]πιος παῖς ἔμαθον, ὡς ἄ[μεινον] ἦν ἄρα Col. b.
πάντων μὲν ὑπεξελθεῖν, ἑκάστου δὲ τὰς δ[υν]άμε[ις] ἀναθεῖναι θεῷ, τῷ καὶ τὸ σῶμα σωματοῦντι καὶ
πηγνύντι, καὶ τὴν αἴσθη[σιν αἴσ]θάνεσθαι παρασκευάζοντι, καὶ τῷ λόγῳ τὸ λέγειν ὀρέγοντι. τὸν αὐτὸν
δὴ τρόπον ὅνπερ τῶν ἄλλων ὑπεξελήλυθας, ὑπεξελθὲ καὶ μετανάστηθι σεαυτῆς. τί δέ τοῦτο ἐσ[τιν]; μὴ
ταμιεύσῃ τὸ νοεῖν καὶ [δι]ανοεῖσθαι καὶ καταλαμβάνειν σε[αυ]τῇ· φέρουσα δὲ καὶ ταῦτα ἀναθὲς τῷ
τοῦ νοεῖν ἀκριβῶς καὶ κ[αταλ]αμβάνειν ἀνεξαπατήτως αἰτίῳ. τὴνδὲ ἀνάθεσιν δέξεται τῶν πανιέρων
τεμενῶν τὸ ἁγιώτερον. δύο γὰρ ἔοικε συστῆναι, τὸ μὲν νοητὸν τόδ' αἴσθητόν αἰσθητῶν μὲν οὖν φύσεων
ὁ κόσμος οὗτος, ἀοράτων δ' ὡς ἀληθῶς ὁ νοητὸς τὸ πάνθειόν ἐστιν. ὅτι δ' ὁ ἐξελθὼν ἐξ ἡμῶν νοητῶν
καὶ γλιχόμενος ὁπα[δὸς εἶ]ναι [θεοῦ], τοῦ φύσεως ἀοιδίμου πλού[του] κληρονόμος ἐσ[τὶ]ν, μαρτ[υρεῖ
ὁ] λέγων, ἐξήγαγεν δε αὐτὸν ἔξω, καὶ εἶπεν, ἀνάβλεψ[ον] εἰς [τὸν] οὐρα[νὸν, ἐπειδήπερ οὗτος ὁ τῶν
θείων θησ[αυρὸς ἀγα]θῶν. ἀνοῖξαί γάρ σοι, φησὶν, κύριος τὸν θησαυρὸν αὐτοῦ τὸν [ἀγαθῶν, τὸν ο]ὐρα-
νόν· ἐξ οὗ δὴ [τὰς τελεωτάτας εὐ]φρωσύνας [ὁ χορηγὸς ἀδιαστάτως ὕει. ἀνάβλεψο]ν, δὲ εἰς ἔλεγχον Pag. XII, col. a
[τοῦ τυφλοῦ] τῶ[ν ἀ]γελαίων ἀνθρώπων γ[ένους, ὁ βλέ]πειν δοκοῦν, πεπήρωται. πῶς γὰρ οὐ πεπήρω-
ται, ὅταν [κακὰ μὲν] ἀντ' ἀγαθῶν [ὁρᾷ, ἀντὶ δὲ] καλῶν, ἄδ[ικα ἀντὶ δικαίω]ν, καὶ πάθη μὲ[ν ἀντ' εὐπα-
θειῶ]ν, θνητὰ δὲ ἀντ' [ἀθανάτω]ν ἤρηται· καὶ νου[θετητὰς μὲν καὶ σω]φρονιστὰς, [ἔτι δ' ἔλεγχον] καὶ
παιδίαν ἀ[ποδιδράσκῃ, κόλακας] δὲ καὶ τ[οὺς πρὸς ἡδονὴν λ]όγους ἀργίας [καὶ ἀμαθίας καὶ θρύψε]ως
δημιουργοὺς ἀποδέχηται]; μόνον [οὖν βλέπει ὁ ἀστεῖος, οὗ] χάριν [καὶ τοὺς προφήτας] ὠνόμ[ασαν οἱ
παλαιοὶ ὁρῶντα]ς. ὁδὲ ἔ[ξω προεληλυθ]ὼς οὐ μό[νον ὁρῶν, ἀλλὰ καὶ θεὸν ὁ]ρῶν [προς ἐρρ]ήθη [Ἰσραήλ.
ὅ]ς θεὸν ὁρῶν. [οἱ δὲ], καὶ [ἄν ποτε τ]οὺς ὀφθαλ[μοὺς διοίξειαν, πρὸς γ]ῆν ἀπο[νενεύκα]σι. [τὰ γ]ήϊνα
μετιόν[τες, καὶ τοῖς ἐν ὕλῃ] συντρεφό[μενοι. ὁ μὲν γὰρ] ἀνατείνει τὰς ὄψεις πρὸς αἰ[θέρα] καὶ τὰς
οὐρα[νιας]..... ὁ θεὸς πεπαίδευται..... αὐτὸν καὶ τὸ μάννα ἀφορᾶν, τὸν θεῖον λόγον, τῆς οὐρανί[ον]
ψυχῆς φιλοθεάμενος [ἄφθαρτον τρο]φήν· οἱδὲ πρὸς [τὰ κρόμμυα καὶ τὰ σκόροδα, [τὰ περιοδυνοῦντα
τὰς κό]ρας καὶ [κυκῶντα καὶ καταμύειν π]οιοῦν[τα, καὶ τὰς ἀλλὰς πράσω]ν [καὶ νεκρῶν ἰχθύων δυσοδ-
μίας], οἰκείας Αἰγύπτου τροφάς. ἐμνήσθημεν γὰρ, φασὶ, τοὺς ἰχθ[ύας] οὓς ἠσθίομεν ἐν Αἰγύπτῳ δωρεὰν
καὶ [σικύους], πέπονας, πράσα, κρόμμυα, σκόροδα· νυνὶ δὲ ἡ ψυ[χὴ] ἡμῶν κατάξηρος, οὐδὲν [πλ]ὴν εἰς τὸ
μάννα οἱ ὀφθαλμοί. συντίνει δὲ πρὸς ἠθοποιΐαν καὶ τὸ, ἐξήγαγεν αὐτὸν ἔξω, ὅ τινες εἰώθασιν ὑπ' ἀμου-
σίας ἤθους γελᾶν, φάσκοντες, εἴσω γάρ τις ἔξαγεν, ἢ ἔμπαλιν εἰσέρχεται ἔξω; ναὶ φαίην ἄν, ὦ καταγέ-
λαστοι καὶ λεῖαν εὑρεχεῖς· ψυχῆς γὰρ τρόπους ἰχνηλατεῖν οὐκ ἐμάθετε, ἀλλὰ σωμάτων τὰς ἐν τούτοις
μεταβατικὰς κεινήσεις μόνας ἐρευνᾶτε. διὸ καὶ παράδοξον ὑμῖν φαίνεται εἴ τις ἐξέρχεται εἴσω, ἢ

1. τρανει pour τρανῇ. — ἔγνων pour ἔμαθον. — 2. μὲν τούτων ὑπεξ. — καὶ σῶμ. — 4 ὑπέκστηθι κ. μετ. καὶ σεαυτ. — 5. ἀνάθου τῷ νοεῖν. — 6. δέχεται. — 7. ἀγνότερον. — 8 ὁ κόσ. οὗτ. ἀορ. δ' ὡς ἀλ. ὁ κόσμος οὗτος ἀοράτων δὲ ὡς ἀληθῶς ὁ νοητὸς πανδοχεῖόν ἐστιν. Turn. concorde avec Pap., sauf πανδοχεῖον. — ὑπεξελθών. — Om. νοητῶν. — 10. Om. δὲ. — 11. Om. γὰρ. — τῶν ἀγ. τὸν οὐρ. — 12. Om. δὲ. — 14. ὁρᾷ αντὶ δὲ δικ. ἄδικ. καὶ πάθη. Dans le manuscrit, il y a probablement un mot à suppléer après ὁρᾷ, un corrélatif de καλῶν. — 15. Om. ἤρηται. — 17. Om. δημιουργούς et rejette λόγους après θρύψεως. — 19. ὅς ἐστιν θ.. — 20. πρὸς αἰθέρα, ἀφορῶν τὸ μάννα, τὸν θ. λόγ. τὴν οὐράνιον φιλοθεάμενος ψυχῆς ἄφθαρτον τρ. — 22. σκόροδα. — 24. φησί. — 25. δωρ. τοὺς σ. — σκόροδα. — πρὸς τ. μ. ὀφθαλμοὶ ἡμῶν συντ. — 26. ὅ τιν. ὑπὸ ἀμ. εἰώθ. Pap. γελαῖν. — 27. ἐξάγεται ἢ ἔμπ. — ἔφην ἄν. — 29. Pap. a ερευναται corrigé en surcharge ερευνεντε, la première surcharge ευ étant à tort placée sur la 3e syllabe, au lieu de la 2e.

εἰσέρχεται ἔξω · τοῖς δὲ Μωϋσέ[ως] γνωρίμοις ἡμῖν οὐδὲν τῶν τοιούτων ἀπῳδόν ἐστιν. ἢ οὐκ ἂν εἴποιτε, [τὸν] μὴ τέλ[ει]ον ἀρχιερέα, [ὁπότε ἐν τοῖς ἁ]δύτοις [τὰς πατρώους ἁγιστεί]ας ἐπειτελεῖ, ἔνδ[ον εἶναι τε] καὶ ἔξω · ἔνδον μὲν τῷ [φανε]ρῷ σώματι, ἔξω δὲ ψυχῇ [τῇ] περιφύτῳ καὶ πεπλανημένῃ; καὶ ἔμπαλιν, τινὰ μηδὲ γένους ὄντα τοῦ ἱερ[ωμένο]υ θεοφιλῆι καὶ φιλ[όθ]εον, ἔξω περιρανθηρίων ἑστῶτα,
Pag. XII, col. a. 1 ἐσω[τάτω] διατρίβειν, ἀποδημί[αν ἡγουμένον ὅλο]ν τὸν μετὰ σώματος βίον; ὁπότε δὲ δύναιτο τῇ ψυχῇ μονῇ ζῆν, ἐν πατρίδι καταμένειν ὑπολαμβάνειν; καὶ γὰρ φιλίας μὲν ἐστιν ἔξω πᾶς ἄφρ[ων], κἂν συνημερεύων μηδ' ἀκαρὲς ἀπολείπηται · εἴσω δὲ πᾶς σοφὸς, κἂν μὴ μόνον χώραις, ἀλλὰ καὶ μεγάλοις κλίμασι γῆς διῳκισμένος τυγχάνοι. κατὰ Μωϋσὴν οὕτως ὁ φίλος ἐγγύς ἐστιν, ὥστε ἀδιαφορεῖ ψυχῆς · λέγει γὰρ, ὁ φίλος, ὁ ἴσος τῇ ψυχῇ σου. καὶ ὁ ἱερεὺς, μέντοι, ἄνθρωπος οὐκ ἔστιν κατ' αὐτὸν, ὅταν εἰσιῃ εἰς τὰ
10 ἅγια τῶν ἁγίων, ἕως ἂν ἐξέλθῃ, οὐ σωματικῶς ἀλλὰ ταῖς κατὰ ψυχὴν κεινήσεσι. ὁ γὰρ νοῦς ὅταν μὲν καθαρὸς λιτουργεῖ θεῷ, οὐκ ἔστιν ἀνθρώπινος, ἀλλὰ θεῖος · ὅτε δὲ ἀνθρωπίνῳ τινὶ, τέτραπται καταβὰς ἀπ' οὐρανοῦ, μᾶλλον δὲ πεσὼν ἐπὶ γῆν, ἐξέρχεται, κἂν ἔτι μένῃ τὸ σῶμα ἔνδον αὐτῷ. ὀρθότατα οὖν [εἴρηται], ἐξήγαγεν αὐτὸν]ἔξω, τῶν κατὰ τὸ] σῶμα δεσ[μωτη]ρίων, τῶν κατὰ τὰς αἰσθήσεις φωλεῶν, τῶν κατὰ τὸν ἀπατεῶνα λόγον σοφιστειῶν · ἐπὶ πᾶσιν, αὐτὸν ἐξ ἑαυτοῦ καὶ τοῦ δοκεῖν αὐτεξουσίῳ καὶ
15 αὐτοκράτορι γνώμῃ νοεῖν τε καὶ καταλαμβάνειν. προαγαγὼν δὲ ἔξω φησὶν, ἀνάβλεψον εἰς τὸν οὐρανὸν,
C. l. 16. καὶ ἀρίθμησον τοὺς ἀστέρας, [ἐὰν δυνηθῇς ἐξαριθμῆσαι αὐτούς. τὸ σπέρμα σοῦ οὕτως ἔσται. παγκάλως εἶπεν. τὸ σπέρμα σοῦ οὕτως ἔσται, ἀλλ' οὐ τοσοῦτον, τοῖς ἄστροις ἄριθμ[ον]. οὐ γὰρ τὸ πλῆθος αὐτὸ μόνον, ἀλλὰ καὶ μυρία ἄλλα τῶν εἰς ε[ὐ]δαιμονίαν ὁλόκληρον καὶ παντελῆ βούλεται παρεμφαίνειν. οὕτως οὖν ἔσται, φησὶν, ὡς ἔχει τὸ ὁρώμενον αἰθέριον, οὕτως οὐράνιον οὕτως
20 αὐγῆς γέμον ἀσκίου καὶ καθαρᾶς, οὐρανοῦ γὰρ ἀπελήλαται νὺξ, καὶ αἰθέρος τὸ σκότος, ἀστεροειδέστατον, εὖ διακεκοσμημένον, τάξει χρώμενον ἀκλινεῖ, τῇ κατὰ ταῦτα καὶ ὡσαύτως ἐχούσῃ. βούλεται γὰρ ἀντίμιμον οὐρανοῦ, εἰδὲ χρὴ καὶ προσυπερβάλλοντα εἰπεῖν, οὐρανὸν ἐπίγειον ἀποφῆναι τὴν τοῦ σοφοῦ ψυχὴν, ἔχουσαν..... ἐν αἰθέρι καθαρὰς φάσεις, τεταγμ[ένας] κινήσεις, χορείας ἐμμελεῖς, θείας περιόδους, ἀρετ[ῶν ἀστ]ροειδεστάτας καὶ περιλαμπεστάτας αὐγάς, εἰδ' ἀμή-
Pag. XIV, col. a, 25 χανον αἰσθητῶν ἀστέρων ἀριθμὸν εὑρεῖν, πῶς οὐχὶ μᾶλλον νοητῶν; ἐφ' ὅσον γὰρ οἶμαι τὸ κρῖνον τοῦ κρινομένου ἄμεινον ἢ χεῖρον, νοῦς μὲν γὰρ ἄμεινον [αἰσθήσεως, διανοίας δὲ ἀμβλύ(ΙΔ)τερον αἴσθησις, ἐπὶ τοσοῦτον καὶ τὰ κρινόμενα διενήνοχεν · ὥστε μ]υρίῳ πλήθ[ει τὰ νοητὰ τῶν αἰσθη]τῶν ὑπερβάλλειν. [τοῦ γὰρ ψυ]χῆς ὄμματος β[ραχυτάτη μοῖ]ρα οἱ κατὰ τὸ σῶμα ὀφθαλμοί · τὸ μὲν γὰρ ἔοικεν ἡλίῳ, λυχνούχοις δὲ οὗτοι μελετῶσιν ἐξάπτεσθαί τε καὶ σβέννυσθαι. ἀναγκαίως οὖν ἐπιλέγε-
30 ται, ἐπίστευσεν Ἀβραὰμ τῷ θεῷ, πρὸς ἔπαιν[ον τοῦ] πεπιστευκότ[ος. καίτοι τάχα ἄν] τις εἴπ[οι], τοῦτ' ἄξιον ἐπαίνου] κρίνετε; τίς δὲ οὐκ ἄν τι λέγοντι καὶ ὑπισχ[νουμένῳ θεῷ προσέ[χοι] τὸν ν[οῦν], κἂν εἰ πάντων ἀδικ[ώτατος καὶ] ἀσεβέστατ[ος ὢν τυγχάνοι]; πρὸς ὃν ἐροῦμεν, ὦ γενναῖε, μὴ ἀνεξετάστως

1. οὐδὲν τούτων ἀπ. — 2. τὸν μὲν τ. — 4. ἔξω τῶν. — 5. Om. τῇ. — 6. ὡς ἐν πατρ. — 8. τυγχάνῃ κατὰ δὲ Μ. ὁ φίλ. οὔτ. — ἀδιαφορεῖν. — 9. οὐκ ἔσται — 10. Pap. ως. — σωματικαῖς. — 11. καθαρῶς. — 13. Pap. κατας αισθ. — 14. Om. τὸν. — αὐτεξ. γνώμ. κ. αὐτοκρ. νοεῖν. — 15. δὲ αὐτὸν ἔξω. — 16. Pour ἀστέρας. — 16-17. οὔτ. ἔστ. τὸ σπερ. σοῦ. — 17. ἰσάριθμον. οὐ γὰρ αὐτὸ τὸ πλ. μόν., ἀλλὰ καὶ ἄλλ. μυρ. — 20. καὶ ἀρετῆς τ. σκ. ἀστρο. — 23. ἔχ. ἐν αἰθ. — 28. κατ. σῶμ. — 32. Pap. om. ὅν. — ἐρ. μὴ, μὴ, ὦ γ., ἀνεξ.

ἢ τὸν σοφὸν ἀφέλῃ τὰ πρέποντα ἐνκώμια, ἢ τοῖς ἀναξίοις τὴν τελειοτάτην ἀρετῶν πίστιν μαρτυρήσῃς,
ἢ τὴν ἡμετέραν περὶ τούτων γνῶ[σιν αἰτι]άσῃ. βαθυτέραν γὰρ εἰ βουληθείης ἔραυναν καὶ μὴ σφόδρ'
ἐπιπόλαιον ποιήσασθαι, σαφῶς γνώσει, ὅτι μόνῳ θεῷ χωρὶς ἑτέρου πρὸς παραλήψεως οὐ ῥᾴδιον πιστεῦ-
[σαι], διὰ τὴν πρὸς τὸ θνητὸν [ᾧ συ]νεζεύγμετα[συ]γγένειαν · ὅπερ ἡμᾶς καὶ [χρήμασι, καὶ δόξῃ, καὶ
ἀρχῇ, καὶ φίλοις, ὑγείᾳ τε καὶ ῥώμῃ σώματος, καὶ ἄλλοις πολλοῖς ἀναπείθει] πεπιστευκέναι. τὸ δὲ ἐκνεί- 5 Col. b.
ψασθαι τούτων ἕκαστον, καὶ ἀπιστῆσαι [γενέσει] τῇ πάντα ἐξ ἑαυτῆς ἀπίστῳ, μόν[ῳ δὲ] πιστεῦσαι θεῷ τῷ
καὶ πρὸς ἀλήθειαν μόνῳ πιστῷ, μεγάλης καὶ ὀλυμπίου ἔργον διανοίας ἐστίν, οὐκέτι πρὸς οὐδενὸς
δελεαζομένης τῶν παρ' ἡμῖν. εὖ δαὶ τὸ φάναι, λογισθῆναι τὴν πίστιν εἰς δικαιοσύνην αὐτῷ. δίκαιον
γὰρ οὐδὲν, οὕτως ὡς ἀκράτῳ καὶ ἀμιγεῖ τῇ πρὸς θεὸν μόνον πίστει κεχρῆσθαι. τὸ δὲ δίκαιον καὶ ἀκό-
λουθον τοῦτο τῇ φύσει παράδοξον ἐνομίσθη, διὰ τὴν τῶν πολλῶν ἀπιστείαν ἡμῶν, οὓς ἐλέγχων ὁ ἱερὸς
λόγος φησὶν, ὅτι τὸ ἐπὶ μόνῳ τῷ ὄντι βεβαίως καὶ ἀκλινῶς ὁρμεῖν, θαυμαστὸν μὲν παρ' [ἀνθρώποις],
οἷς ἀγαθῶν ἀδόλων [κτῆσις] οὐκ ἔστιν · οὐ θαυμαστὸν [δὲ] παρὰ ἀληθείᾳ βρα[βευούσῃ] δικαιοσύν[ης
δὲ αὐτὸ μόνον] ἔργον · εἶπεν δὲ [φησ]ὶ[ν πρὸς] αὐτόν · ἐγὼ ὁ θεὸς ὅς [ἐξήγαγέ] σε ἐκ χώρας Χαλ-
δαίων, [ὥς] τε δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι. τοῦτ' οὐχ ὑπόσχεσιν μόνον, ἀλλὰ [καὶ]
παλαῖας ὑποσχέσεως [βε]βαίωσιν ἐμφαίνει. τὸ μὲν οὖν πάλαι δ]ωρηθὲν ἀ[γαθὸν] (ΙΕ) ἔξοδος ἦν ἀπὸ 15 Pag. XV, col. a.
τῆς Χαλδαϊκῆς μετεωρολογίας, ἥτις ἀνεδίδασκεν οὐ θεοῦ ἔργον, ἀλλὰ θεὸν ὑπολαμβάνειν τὸν κόσμον
εἶναι, καὶ τό τε εὖ καὶ τὸ χεῖρον ἅπασιν τοῖς οὖσιν, φοραῖς καὶ τεταγμέναις περιόδοις ἀστέρων ἀριθ-
μεῖσθαι καὶ ἐνθένδε τὴν ἀγαθοῦ καὶ κακοῦ γένεσιν ἠρτῆσθαι. ταῦτα δὲ τῶν κατὰ τὸν οὐρανὸν ὁμαλὴ
καὶ τεταγμένη κείνησις, τοὺς εὐχαιρεστέρους ἀνέπ[ει]σε τερατεύεσθαι · καὶ γὰρ τὸ Χαλδαίων ὄνομα
μεταλημφθὲν ὁμαλότητι παρωνυμεῖ. τὸ δὲ νέον ἀγαθὸν, κληρονομῆσαι σοφίαν τὴν ἄδεκτον μὲν 20
αἰσθήσι, νῷ δ' εἰλικρινεστάτῳ καταλαμβανομένην, δι' ἧς ἀποικιῶν ἡ ἀρίστη βεβαιοῦται · μετανιστα-
μένης τῆς ψυχῆς ἀπὸ ἀστρονομίας ἐπὶ φυσιολογίαν, καὶ ἀπὸ ἀβεβαίου εἰκασίας ἐπὶ πάγιον κατάλη-
μψιν, καὶ κυρίως εἰπεῖν, ἀπὸ τοῦ γεγονότος πρὸς τὰ ἀγένητα, ἀπὸ τοῦ κόσμου πρὸς τὸν [ποιητὴν]
καὶ πατέρα αὐτοῦ. τοὺς μὲν γὰρ τὰς γνώμας Χαλδαΐζοντας οὐρανῷ πεπι[στευ]κέναι, τὸν δ' ἐνθένδε
[μετ]αναστάντα τῷ ἐπόχῳ τοῦ οὐρανοῦ καὶ ἡ[νιόχῳ το]ῦ παντ[ὸς κ]όσμου, θεῷ, φασὶν οἱ χρη[σμοί. 25
καλός] γε ὁ κλῆρος, με[ίζων ἴσως τῆς δυνάμεως τοῦ λαμβάνοντος, ἐπάξιος δὲ τοῦ μεγέθους Col. b.
τοῦ] διδόν[τος. ἀλλ' οὐκ ἐξαρ]κεῖ χρηστὰ ἐλπ[ίσαι καὶ] θαυμάσια ἡλίκα προσδοκῆ[σαι] τῷ σοφίας
ἐραστῇ διὰ τῶν θεσπισθέντων, ἀλλ' εἰμὴ καὶ τρόπον γνώσεται καθ' ὃν ἐφίξεται τῆς τοῦ κλήρου
διαδοχῆς, παγχάλεπον ἡγεῖται, ἅτε διψῶν ἐπιστήμης καὶ ἀπλήσ[τως ἔχων αὐτῆς]. διὸ πυνθά[νεται
φάσκω]ν, δέσποτα, κ[ατ]ὰ τ[ί γ]νώσομαι, ὅτι κληρονομ[ήσω] αὐτήν; ἴσως ἄν τις εἴποι, [μά]χεσθαι 30
τοῦτο [τῷ πεπιστευκέ]ναι · τὸ μὲν ἀπορεῖν ἐνδοιάζ[ον]τος, τὸ δὲ μηκέτι ζητεῖν ἔργον εἶναι πεπιστευ-

2. Pour ἔρευναν. — 3. Pour γνώσῃ. — Pap. χορίς. — 7. Le scribe a pensé à μισθω et écrivit μιστω. — ὀλ. διαν. ἔργον ἐστὶ, πρὸς οὐδ. οὐκέτι δελ. — 8. εὖ δὲ τό. — 9. οὔτ. οὐδ. — Pap. err. ακουλοθον. — 11. Pour ὁρμεῖν le pap. avait d'abord écrit ευρειν qui est biffé par des points au-dessus de chaque lettre. — La ponctuation des deux lignes suivantes est dans le ms. — 13. ὁ ἐξ. — ἐκ γῆς χ. — 14. Pap. τουθ' ουχ. — 16. ἀλλὰ θεὸν τ. κόσ. εἶν. ὑπολ. — 18. κατ' οὐρανὸν ἡ ὁμαλή. — 19. ἔπεισε. — 20. Pap. err. ονοματητι. — ἀγ. κτήσασθαι σοφ. τὴν ἀδίδακτον. — 21. Pour αἰσθήσει. — 23. πρὸς τὸ ἀγένητον. Pap. om. ἀπὸ τοῦ qui suit. — 27. Pap. το σοφ. — 29. Pap. δια πυνθ. — 30. κύριε θεὲ κατ. — 31. πεπ. ἔργ. εἶναι.

κότος. λεκτέον οὖν, ὅτι καὶ ἀπορεῖ καὶ πεπίστευκεν, οὐ μὴν περὶ τοῦ αὐτοῦ · πολλοῦ γε καὶ δεῖ. πεπίστευκεν μὲν γὰρ ὅτι κληρονόμος ἔσται σοφίας, τὸν δὲ τρόπον αὐτὸ μόνον ζητεῖ καθ' ὃν ἂν γένοιτο · τὸ δ' ὅτι γενήσεται, πάντως κατὰ τὰς θείας ὑποσχέσεις βεβαίως κατείληφεν. τὸν πόθον [οὖν] ᾧ κέχρη[ται]
Pag. XVI, col. a. πρὸς τὸ μαθεῖν ἐπαιν[έσας ὁ διδάσκαλος, ἄρχεται τῆς ὑφηγήσεως ἀπὸ στοιχειώδους εἰσαγωγῆς, ἐν ᾗ πρῶτον καὶ ἀναγκαιότατ]ον γέγρα[πται], λάβε μοι. βραχεῖα μὲν ἡ λέξις, πολλὴ δὲ δύναμις, ἐμφαίν[ει] γὰρ οὐκ ὀλίγα. πρῶτο[ν μέν, ἴ]διον, φησὶν οὐδ[ὲν ἔχεις ἀγα]θὸν, ἀλλ' ὅτι ἂ]ν νομί]σῃς ἔχειν, ἕτερος παρέ[σχηκεν]. ἐξ οὗ συνάγεται ὅτι θεοῦ [το]ῦ διδόντος κτήματα πάντα, ἀλλ' οὐ τῆς μεταίτου καὶ τὰς χεῖρας εἰς τὸ λαβεῖν προ[τει]νούσης γενέσεως. δεύτερ[ον δὲ], κ[ἂν λάβῃς], λάβε, μὴ σεαυ[τῷ, δάνειο]ν δὲ ἢ παρακατα[θήκην νομίσας] τὸ δοθὲν, τῷ παρακ[αθε]μένῳ καὶ συμβαλόντι ἀπόδος, πρεσβυτέραν χάριν
10 χάριτι νεωτέρᾳ, προκατάρχουσαν ἀντεκτεινούσῃ δικαίως καὶ προσηκόντως ἀμειψάμενος. μυρίοι γὰρ ἔξαρνοι παρακαταθηκῶν ἐγένοντο ἱερῶν, τοῖς ἀλλοτρίοις ὡς ἰδίοις ὑπ' ἀμέτρου τῆς πλεονεξίας καταχρησάμενοι. σὺ δὲ, ὦ γένναιε, παντὶ σθένει πειρῶ, μὴ μόνον ἀσινῆ καὶ ἀκιβδήλευτα φυλάττειν ἃ ἔλαβες, ἀλλὰ καὶ πάσης ἐ[πιμελ]είας ἀξιοῦν, ἵν' ὁ παρα[καταθέμενος μηδ]ὲν ἔ[χῃ τῆς παρὰ σοῦ φυλακῆς
Col. b. αἰτιᾶσθαι. παρακατέθετο δέ σοι αὐτῷ ψυχὴν, λόγ]ον, αἴσθησιν [ὁ ζωοπλάστ]ης, ἃ συμβολικῶς [δάμα-
15 λ]ις, κρειὸς, αἶξ ἐν ἱεραῖς γραφαῖς ὠνομάσθησαν. ταῦτα δὲ οἱ μὲν εὐθὺς ὑπὸ φιλαυτίας ἐνοσφίσαντο, οἱ δὲ ἐταμιεύσαντο πρὸς καιριωτάτην ἀπόδοσιν. τῶν μὲν ο[ὖν] νοσφιζομένων οὐκ ἔστιν ἀριθμὸν εὑρεῖν · τίς γὰρ ἡμῶν ψυχὴν καὶ αἴσθησιν καὶ λόγον, πάνθ' ὁμοῦ ταῦτ' οὐ φησὶν ἑαυτοῦ κτήματ' εἶναι, τὸ αἰσθάνεσθαι, τὸ λέγειν, τὸ καταλαμβάνειν, οἰόμενος ἐφ' ἑαυτῷ μόνῳ κεῖσθαι; τῶν δὲ τὴν πίσ[τιν ἱ]ερὰν καὶ ἄσυλον ὄντως διαφυλαττόντων, ὀλίγος ἐστὶν ἀριθμός. οὗτοι τὰ τρία ἀνα[τε]θείκασιν θεῷ, ψυχὴν,
20 αἴσθησιν, λόγον · ἔλαβον γὰρ οὐχ ἑαυτοῖς, ἀλλ' ἐκείνῳ πάντα ταῦτα, ὥστε εἰκότως ὡμολ[όγη]σαν κατ' αὐτὸν εἶναι τὰς [ἑκά]στων ἐνεργείας, [τοῦ νοῦ] τὰς διανο[ήσεις, τοῦ λόγου] τὰς ἑρμηνε[ίας, τῆς αἰσθή]σεως τὰς φαντασί[ας. οἱ] μὲν οὖν ἑαυτοῖς ταῦτα ἐπιγράφοντες, ἄξια τῆς ἑαυτῶν βαροιδαιμονί[ας] ἐκληρώσαντο. ψυχὴν μὲν [ἐπίβου]λον, ἀλόγοις πά[θεσι] [πεφυρμένην], καὶ πλήθει [κακιῶν] κατειλημμένην ·
Pag. XVII, col. a. τοτὲ μὲν ὑπὸ λαιμαργίας καὶ λαγνείας, ὥσπερ ἐν χαμαιτυπείῳ περιϋβριζομένην, τοτὲ δὴ ὑπὸ
25 πλήθους ἀδικημάτων, ὥσπερ ἐν δεσμωτηρίῳ καθειργμένην, μετὰ κακούργων, οὐκ ἀνθρώπων, ἀλλὰ ἐπιτηδευμάτων, ἃ πᾶσι τοῖς κριταῖς ἢ τιμωρηταῖς ἀγώγιμα γέγονεν. λόγον δὲ στόμαργον, ἠκονημένον [κα]τὰ τῆς ἀληθείας, βλαβερὸν μὲν τοῖς ἐντυγχάνουσιν, αἰσχύνην δὲ τοῖς κεκτημένοις ἐπιφέροντα.. αἴσθησιν δὲ ἀκόρεστον, ἐ[μφο]ρουμένην μὲν αἰεὶ τῶν αἰσθητῶν, ὑπὸ δὲ ἀκράτορ[ος] τῆς ἐπιθυμίας μηδέποτε ἐμπλησθῆναι δυναμένην, ἀλογοῦσαν τῶν σωφρονιστῶν, ὡς παροῦσαν καὶ παρα[κο]ύειν, καὶ
30 ὅσα ἂν ἐπ' ὠφελίᾳ διεξέρχωνται, παραπτύειν. [οἱ δὲ λ]αβόντες μὴ ἑαυτοῖς, [ἀλλὰ θεῷ, τούτω]ν ἕκαστον αὐτῶν ἀνέθεσαν, ἱεροπρεπὲς καὶ ἅγιον ὄντως φυλάξαντες τῷ κτησαμένῳ, τὴν μὲν διάνοιαν, ἵνα μὴ

1. Om. le premier καὶ. — καὶ πολλοῦ. — 2. Om. μέν. — 3. Pap. err. παντω. — 7. μετ' αὐτόν καὶ τ. — 10. ἀμ. πολλοὶ γὰρ ἐκ παρακατ. ἱερ. πονηροὶ ἐγένοντο τοῖς... — 12. Pap. ωι. — πειρ. παντ. σθέν. — 13. πλείονος pour πάσης. — 15. Pap. φιλαυθιας ενοφισαντο. — 16. ἐταμιεύσαντο est rejeté à la fin. — Pap. νοφιζομενων. — 17. λόγον κ. αἰσθ., οὐ πάντα ὁμου ταῦτά φησι κτ. αὐτοῦ εἶναι. — 18. Om. την. — 19. οὗτ. ταῦτα τὰ τρ. — 20. ταῦτ. πάντ. ᾧ καὶ εἰκ. — 21. Pap. αι ερμηνειαι. — 22. ἄξ. ταῦτα τῆς... — 24. δὲ. — 25. καθειργνυμένην. — 26. ἃ πᾶσι τοῖς κριτ. ἀγ. γίνεται. λόγ. — 28. Om. τῆς. — 31. τούτων ἕκ. αὐτῷ. — διαφυλάξαντες τὸ κεκτημένον. — ἵνα μηδὲν ἄλλο ἢ τὰ περὶ θ... διανοῆσαι (Pap. διανηται).

ἄλλο, ἢ περὶ θεοῦ καὶ τῶν ἀρετῶν αὐτοῦ διανοήται. τὸν δὲ λόγον, ἵνα ἀχαλινῳ στόματι ἐγκωμ[ίοις καὶ
ὕμνοις καὶ] εὐδαιμονισμοῖς [γεραίροι] τὸν τῶν ὅλων [πατέρα, τὰς πρὸ]ς ἑρμηνείαν ἁπάσας ἀρετὰς, εἰς Col. b.
ἓν τοῦτο μόνον ἔργον συ[γκρ]οτῶν καὶ ἐπιδεικνύμενος· τὴν δ[ὲ αἴσ]θησιν, ἵνα φαντασιου[μένη τὸν]
αἰσθητὸν ἅπαντα κό[σμον, οὐ]ρανὸν καὶ γῆν, καὶ τὰς [μεταξ]ὺ φύσεις, ζῶά τε καὶ [φυ]τὰ, ἐνεργείας τε
καὶ δυν[άμεις] αὐτῶν, καὶ ὅσαι κινήσεις καὶ σχέσεις, ἀδόλως καὶ καθαρῶς ψυχῇ διαγγέλη. νῷ [γὰρ ὁ
θεὸς] καταλαν6άνειν τ[ὸν μὲν] νο[ητὸν] κόσμον δ[ι' ἑαυτοῦ, τὸ]ν δὲ ὁρατὸν δι' [αἰσθήσ]εω[ς ἐ]φῆκεν. εἰ
δὴ δύναιτό τις πᾶσι τοῖς μέρεσι ζῆσαι θεῷ μᾶλλον ἢ ἑαυτῷ, διὰ μὲν τῶν αἰσθήσεων εἰς τὰ αἰσθητὰ
διακύψας, ἕνεκα τοῦ τὸ ἀληθὲς εὑρεῖν, διὰ δὲ τῆς ψυχῆς τὰ νοητὰ καὶ ὄντα ὄντως φιλοσοφήσας, διὰ δὲ
τοῦ κατὰ τὴν φωνὴν ὀργάνου καὶ τὸν κόσμον καὶ τὸν δημιουργὸν ὑμνήσας· εὐδαίμωνι καὶ μακαρίῳ
χρήσεται· ταῦτα ἐκ τοῦ λάβε μοι παρεμφαίνεσθαι νομίζωι· βουληθεὶς μέντοι καὶ τῆς θείας ἀρετῆς
ἀπ' οὐρανοῦ τὴν εἰκόνα ἐπὶ γῆν καταπέμψαι, δι' ἔλεον τοῦ γένους ἡμῶν, ἵνα μὴ ἀτυχήσῃ τῆς ἀμεί-
νονος μοίρας, συμβολικῶς τὴν [ἱερὰν] σκηνὴν καὶ τὰ ἐν αὐτῇ κατασκευάζει, σοφία[ς] ἀπεικόνισμα καὶ Pag. XVIII, col. 1.
μείμημα. τῆς γὰρ ἀ[κ]αθαρσίας ἡμῶν ἐν μέσῳ φησὶ τὴν σκηνὴν ἵδρυσθαι τὸ λόγιον, ἵν' ἔχωμεν ᾧ
καθαρθησόμεθα, ἐκνιψάμενοι καὶ ἀπολουσάμενοι τὰ καταρυπαίνοντα ἡμῶν τὸν ἄθλιον καὶ δυσκλείας
γέμοντα βίον. τὰ συντίνοντα οὖν πρὸς τὴν κατασκευὴν ἴδωμεν ὃν τρόπον εἰσφέρειν προσέταξεν. ἐλάλη-
σεν, φησὶν, κύριος πρὸς Μωϋσῆν λέγων, εἶπον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ λάβετέ μοι ἀπαρχὰς, παρὰ πάντων
οἷς ἂν δόξῃ τῇ καρδίᾳ λήμψεσθαι τὰς ἀπαρχάς μου. οὐκοῦν κἀνταῦθα παραίνεσις, μὴ ἑαυτοῖς, ἀλλὰ
θεῷ λαβεῖν, τίς τε ὁ διδούς ἐστιν ἐξετάζοντας, καὶ τὰ δοθέντα μὴ σινομένους, ἀσινῆ δε καὶ ἄμωμα,
τέλειά τε αὖ καὶ ὁλόκληρα διαφυλάττοντας. τὰς δ' ἀρχὰς δογματικώτατα ἀνέθηκεν αὐτῷ. τῷ γὰρ ὄντι
καὶ σωμάτων καὶ πραγμάτων αἱ ἀρχαὶ κατὰ θεὸν ἐξετάζονται μόνον. ἐραύνησον δὲ, εἰ θέλεις γνῶναι
ἕκαστα, φυτὰ, ζῶα, τέχνας, ἐπιστήμας. ἆρ' οὖν αἱ πρῶται [τῶν] φυτῶν σπερματικ[αὶ κατα]βολαὶ γεω[ρ]-
γία[ς ἢ τῆς ἀοράτου] φύσεώς εἰσιν ἀόρατα ἔργα; τί δ' α[ἱ ἀνθρώπ]ων καὶ τῶν ἄλλων ζώων γενέσεις;
οὐχ ὡσανεὶ μὲν συναιτίους ἔχουσι τοὺς τοκέας, τὴν δ' ἀνωτάτω καὶ πρεσβυτάτην καὶ ὡς ἀληθῶς
[αἰτί]αν, τὴν φύσιν; τέχναις δὲ καὶ ἐπιστήμαις οὐ πηγὴ καὶ ῥίζα καὶ θεμέλιοι, καὶ εἴ τι ἄλλο πρεσβυτέ-
ρας ὄνομα ἀρχῆς ὑπόκειται ἡ φύσις, ᾗ πάντα ἐποικοδομεῖται τὰ καθ' ἑκάστην θεωρήματα; φύσεως δὲ
μὴ προϋποκειμένης, ἀτελῆ τὰ πάντα. ἐνθένδε μοι δοκεῖ τις ὁρμηθεὶς εὐστόχως εἰπεῖν, ἀρχὴ δέ τοι
ἥμισυ παντός. ἀρχὴν αἰνιξάμενος τὴν φύσιν ἥτις, ὡσανεὶ ῥίζα, κατεβέβληται, πρὸς τὴν ἑκάστου συναύ-
ξησιν, ᾗ καὶ τὸ ἥμισυ τοῦ παντὸς ἀπενεί με. εἰκότως οὖν τὸ λόγιον ἀνέθηκεν τὰς ἀρχὰς τῷ ἡγεμόνι
θεῷ. καὶ ἑ[ν ἑ]τέροις, εἶπεν, φησὶν, κύριος Μω[ϋσῆ] λέγων, ἁγίασόν μοι πᾶν [πρω]τότοκον, πρωτογενὲς,
διανοί]γον πᾶσαν μήτρ[αν], ἐν [υἱοῖς] Ἰσραὴλ, ἀπὸ ἀνθρώπου ἕως κτήν[ους] ἐμοί ἐστιν. ἀνωμολογήσ[θαι]

3. φαντ. πάντα τὸν κόσμον (Cæt om.). — 4. τε καί τάς. — 5. διαγγέλλοι (Pap. διαγγελη: pour διαγγελλῃ). — 7. εἰ δέ. — 10. μακ. βίῳ χρήσ. — Pour νομίζω. — 11. τὴν ἀκρότητα ἐπὶ γ. — 13. ἱδρύσασθαι. — 16. Om. παρὰ πάντων. — 18. λαμβάνειν. — τίς τέ ἐστιν ὁ διδ. — Pap. biffe un τ entre δισ. et ἐστιν. — σιν. ἀλλ' ἀσινῆ. — 19. Après αυ Pap. a ', apostr. ou accent? — Pap. διαφυλαττοντος. — 20. Pour ἐρεύνησον. — 21. ἆρά γε οὖν. — 22. Pour γενεσεις. — 23. πρεσβυτέραν. — 24. θεμέλιος. — 25. ἐποικ. τὰ θεωρ. Cæt. om. — 26. ἀτ. πάντ. ἐντευθέν μοι δ. τις εὐστ. Om. ὁρμηθείς. — De αρχην à εἰκότως omet Richt. — 28. τὰς απαρχάς. — 29. Om. φησίν. — πρὸς Μοϋσῆν. — 30. Om. πᾶσαν. — ἐστ. ὥστε ἀνωμ. Pap. ανομολ.

καὶ διὰ τούτων, ὅτι τὰ πρῶτα καὶ χρόνῳ καὶ δυνάμει κτήματα θεοῦ, καὶ διαφερόντως τὰ πρωτωγενῆ· Pag. XIX, col. a.
ἐπειδὴ γὰρ πᾶν γένος ἄφθ[αρτο]ν, δικαίω[ς] τῷ ἀφθάρτῳ [π]ροσνεμη[θή]σεται, καὶ εἴ τις καὶ συνό-
λως πᾶσαν μήτραν διοιγνύει, ἀπὸ ἀνθρώπου, τοῦ λογισμοῦ καὶ λόγου, ἕως κτήνους αἰσθήσεώς τε καὶ
σώματος. ὁ γὰρ διοιγνὺς τὴν μήτραν ἑκάστων, τοῦ μὲν νοῦ πρὸς τὰς νοητὰς καταλήμψεις, τοῦ δὲ
λόγου πρὸς τὰς διὰ φωνῆς ἐνεργείας, τῶν δὲ αἰσθήσεων πρὸς τὰς ἀπὸ τῶν ὑποκειμένων ἐγγινομένας
φαντασίας, τοῦ δὲ σώματος πρὸς τὰς οἰκείους αὐτῷ σχέσεις τε καὶ κινήσεις, ἀόρατος καὶ σπερματικὸς
καὶ τεκνικὸς θεῖός [ἐσ]τιν λόγος, ὃς προσηκόντως ἀνακείσεται τῷ πατρί. καὶ μὴν ὥσπερ αἱ ἀρχαὶ θεοῦ,
οὕτως καὶ τὰ τέλη θεοῦ. μάρτυς δὲ Μωϋσῆς προστάττων ἀφαιρεῖν καὶ ὁμολογεῖν τὸ τέλος τῷ κυρίῳ.
μαρτυρεῖ δὲ καὶ τὸ ἐν κόσμῳ. πῶς; φυτοῦ μὲν ἀρχὴ σπέρμα, τέλος δ' ὁ καρπὸς, ἑκάτερον οὐ γεωργέας,
ἀλλὰ φύσεως ἔργον. πάλιν ἐπιστήμης ἀρχὴ μὲν ἡ φύσις, ὡς ἐδείχθη, πέρας δ' ἦλθεν εἰς ἀνθρώπους.
τέλειος γὰρ οὐδεὶς ἐν οὐδενὶ τῶν ἐπιτηδευμάτων, ἀλλ' ἀψευδῶς αἱ τελειότητες καὶ ακρότητες ἑνός
Col. b. εἰσιν μόνου. φορούμεθα οὖν λοιπὸν ἡμεῖς ἐν τῷ τέλους καὶ ἀρχῆς μεθορίῳ, μανθάνοντες, διδάσκοντες,
γεωπονοῦντες, ἐργαζόμενοι τῶν ἄλλων ἕκα[στον], ὡς ἂν ἱδροῦντες, ἵνα τι καὶ γένεσις πράττειν δοκῇ.
γνωριμώτερον μέντοι τὰς ἀρχας καὶ τὰ τέλη κατὰ θεὸν ὡμολόγησεν ἐπὶ τῆς τοῦ κόσμου γενέσεως,
εἰπὼν. ἐν ἀρχῇ ἐποίησεν. καὶ πάλιν, συνετέλεσεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, νυνὶ μὲν οὖν, λάβετέ
μοι, φησὶν, διδοὺς τὰ πρέπονθ' ἑαυτῷ, καὶ προτρέπων τὰ δοθέντα μὴ κιβδηλεύειν, ἀλλ' ἀξίως τοῦ δόν-
τος φυλάττειν. αὖθις δ' ἐν ἑτέροις, ὁ μηδενὸς χρεῖος ὤν, καὶ δι[ὰ τοῦτο] λαμβάνων μηδὲν, ὁμολογήσει
λαμβάνειν, ἕνεκα τοῦ πρὸς εὐσέβειαν ἀλεῖψαι, καὶ προθυμίαν ὁσιότητος ἐμποιῆσαι, καὶ πρὸς θεραπείαν
ἀκονῆσαι τὴν ἑαυτοῦ ὡς ἀποδεχομένου καὶ δεικνομένου τὰς ψυχὰς ἑκουσίου ἀρεσκείας καὶ γνησίους
θεραπείας. ἰδοὺ γὰρ, φησὶν, εἴληφα τοὺς λευίτας ἀντὶ παντὸς πρωτοτόκου διανοίγοντος μήτρας παρὰ
τῶν υἱῶν Ἰσραὴλ· λύτρα αὐτῶν ἔσονται. οὐκοῦν λαμβάνομεν καὶ δίδο[μεν, ἀ]λλὰ κυρίως μὲν λ[αμβά-
Pag. XX, col. a. νομε]ν, καταχρηστικῶς [δὲ διδόναι] λεγόμεθα. δι' ἃς αἰτ[ίας εἶπον]. εὐθυβόλως δὲ λύτρα ὠνόμασε τοὺς
λευίτας· εἰς ἐλευθερίαν γὰρ οὐδὲν οὕτως ἐξαιρεῖται τὴν διάνοιαν, ὡς τὸ πρόσφυγα καὶ ἱκέτην. γενέσθαι
θεοῦ. τοῦτο δ' ἡ ἱερωμένη φυλὴ λευϊτῶν ἐπαγγέλλεται. λελαληκ[ότ]ος οὖν τὰ πρέποντα περὶ τούτων ἀνα-
δράμωμεν ἐπὶ τὰ ἐξ ἀρχῆς. ὑπερεθέμεθα γὰρ πολλὰ τῶν ὀφειλόντων ἀκριβωσθῆναι. λάβε μοι, φησὶν,
δάμαλιν ἄζυγον καὶ ἀκάκωτον, ἀ[παλὴν ἔτι] καὶ νέαν, καὶ σφιργῶ[σαν, ἡνιόχησιν καὶ παιδείαν [καὶ
ἐπίστα]σιαν εὐμαρῶς δέξ[εσθαι δυνα]μένην ψυχὴν. λάβ[ε μοι κρι]ὸν, λόγον ἀγωνιστὴν [καὶ τέλε]ιον,
ἱκανὸν μὲν τὰ σοφίσματα τῶν ἀντὶ δοξούντων ἀνατεμεῖν τε καὶ λῦσαι, ἱκανὸν δὲ καὶ ἀσφάλειαν ὁμοῦ
καὶ εὐκοσμίαν τῷ χρωμένῳ περιποιῆσαι. λάβε μοι καὶ τὴν διττοῦσαν αἴσθησιν ἐπὶ τὸν αἰσθητὸν

1. Pour πρωτογηνητ. — 2. εἴ τι. — 3. Om. πᾶσαν. — Pap. διοιγνυειν. — τοῦ λόγου. — τῆς αἰσθ. — 4. Om. την. — 5. Pap. υπο των υποκ. — 7. τεχ. καὶ θεῖος. — 8. οὕτω. — ὁ Μοϋσεῖ προστ. — τέλος κυρίου. — 9. Om. ὁ. — Pour γεωργίας. — 10. πέρας δ' οὐδ' ἓν ὅλθοι εἰς ἄνθρ. — 12. φορ. οὖν ἡμ. ἐν τ. τέλ. κ. ἀρχ. λοιπὸν μεθ. — 13. ὡσανεὶ δρῶντες ἵνα. — 14. ἀπαρχάς. — 16. αὑτῷ. — τοῦ δέοντος φυλ. — 19. Om. καὶ δειχομένου. Turn. concorde avec Pap. — ψυχῆς. — Turn. ἀκουσίους, (!) — Pap. γνησιου. — 20. μήτραν. — 22. Pap. λεγομετα. — De λύτρα excl. à οὐδὲν incl. Pap. om. — 24. Pap. επαγγελεται. — 25. ἐπὶ τὰ ἑξῆς ἀναδ. — 26. Pap. αζυγα. — Pour σφριγῶσαν. — 27 ἐπίστασιν. — 29 διάγουσαν pour διττ.

κόσμον, αἶγα, πάντα τριετίζοντα, κατὰ ἀριθμὸν τέλειον παγέντα, ἀρχὴν, μεσότητα, τελευτὴν ἔχοντα. πρὸς δὲ τούτοις τρυγόνα καὶ περιστερὰν, τήν τε θείαν καὶ τὴν ἀνθρωπίνην σοφίαν, πτηνὰς μὲν ἀμφοτέρας καὶ ἀνωπηδᾶν με[μελ]ετηκυί[ας], διαφερούσας δὲ ἀλλήλων, ᾗ διαφέ[ρει γένος εἴ]δους, ᾗ μείμημα Col. a.
ἀ[ρχετύπου]. φιλέ[ρημος μὲ]ν γ[ὰρ ἡ θεία] σοφία, [διὰ τὸν] μό[νον θεὸν, ο]ὗ κτῆμά ἐστιν. τὴν [μόνωσι]ν ἀγαπῶσα. συμ[βολικῶς] αὕτη τρυγὼν καλεῖται, ἥμ[ερ]ος καὶ τιθασὸς καὶ ἀγελαῖος [ἡ ἑτ]έρα, τὰ ἀνθρώπων ἄστη περ[ιπο]λοῦσα, καὶ διαίτῃ τῇ μετὰ θνητῶν ἀσμενίζουσα. περιστερᾷ ταύτην ἀπεικάζουσιν. ταύτας μοι δοκεῖ [τὰς] ἀρετὰς Μωϋσῆς αἰνιξάμε[νο]ς μαία[ς Ἑβ]ραίων ὠνομάσαι Σεπφώραν τε καὶ Φουάν· ἡ μὲν γὰρ ὀρνίθιον, Φουὰ δὲ ἐρυθρὸν ἑρμηνεύεται. τῆς μὲν οὖν θείας ἐπ[ιστή]μης, ὄρνιθος τρόπον, τὸ αἰεὶ μετεωροπολεῖν ἴδιον, τῆς δὲ ἀνθρωπίνης, αἰδῶ καὶ σωφροσύνην ἐνποιεῖν, ὧν τὸ ἐρυθριᾶν, ἐφ' οἷς ἄξιον. δεῖγμα ἐναργέ[στ]ατον, ἔλαβεν δέ φησιν, αὐτῷ πάντα ταῦτα. τοῦτ' ἔπαινός ἐστι τοῦ σπουδαίου, [τὴ]ν ἱερὰν ὧν ἔλαβε παρακαταθήκην, ψυχῆς, αἰσθήσεως, λόγου, θείας σοφίας, ἀνθρωπίνης ἐπιστήμης, καθαρῶς καὶ ἀδόλως, μὴ ἑαυτῷ, μόνῳ δὲ τῷ πεπιστευκότι φυλάξοντος. εἶτ' ἐπιλέγει, διεῖλεν αὐτὰ μεσότῃ, τίς μὴ προστιθεὶς, ἵνα τὸν ἄδεικτον ἐννοῇς θεὸν τέμνοντα, τὰς τῶν σωμάτων καὶ τὰ[ς τ]ῶν πραγμάτων ἑξῆς ἁπάσ[ας ἡ]ρμόσθαι καὶ ἡνῶσθαι δοκούσας φύσεις, τῷ τομεῖ τῶν συμπάντων Pag. XXI.
ἑαυτοῦ λόγῳ· ὃς, εἰς τὴν ὀξυτάτην ἀκονηθεὶς ἀκμὴν διαιρῶν οὐδέποτε λήγει, τὰ γὰρ αἰσθητὰ πάντα. ἐπειδὰν μὲν μέχρι τῶν ἀτόμων καὶ λεγομένων ἀμερῶν διεξέλθῃ, πάλιν ἀπὸ τούτων, τὰ λόγῳ θεωρητὰ εἰς ἀμυθήτους καὶ ἀπεριγράφους μοίρας ἄρχεται διαιρεῖν οὗτος ὁ τομεὺς, καὶ, τὰ πέταλα τοῦ χρυσίου τέμνει τρίχας, ὥς φησιν Μωϋσῆς, εἰς μῆκος ἁπλατὲς, ἀσωμάτοις γραμμαῖς ἐμφερές. ἕκαστον οὖν τῶν τριῶν διεῖλεν μέσον, τὴν μὲν ψυχὴν εἰς λογικὸν καὶ ἄλογον, τὸν δὲ λόγον εἰς ἀληθές τε καὶ ψεῦδος, τὴν δὲ αἴσθησιν εἰς καταληπτικὴν φαντασίαν καὶ ἀκατάληπτον· ἅπερ εὐθὺς τμήματα ἀντιπρόσωπα τίθησιν ἀλλήλοις, [λογι]κὸν ἄλογον, ἀληθὲς ψεῦδος, κατάληπτον ἀκατάληπτον, ἀπολιπὼν τὰ πτηνὰ ἀδιαίρετα. τὰς γὰρ ἀσωμάτους καὶ θείας ἐπιστήμας εἰς μαχομένας ἐναντιότητας ἀδύνατον τέμνεσθαι. πολύν τε καὶ ἀναγκαῖον ὄντα λόγον τὸν περὶ τῆς εἰς ἴσα τομῆς καὶ τὸν περ[ὶ ἐναντιο]τήτων, οὔτε παρήσομεν, οὔτε μηκυνοῦμεν, ἀλλ' ὡς ἔστιν ἐπιτέμνοντες, ἀρκεσθησόμεθα μόνοις τοῖς καιρίοις. καθάπερ ἡμῶν τὴν ψυχὴν καὶ τὰ μέλη μέσα διεῖλεν ὁ τεχνίτης, οὕτως καὶ τὴν τοῦ παντὸς οὐσίαν, ἡνίκα τὸν κόσμον ἐδιμιούργει. λαβὼν γὰρ αὐτὴν ἤρξατο διαῖρειν ὧδε. δύο τὸ πρῶτον ἐποίει τμήματα, τό τε βαρὺ καὶ κοῦφον, τὸ παχυμερὲς ἀπὸ τοῦ λεπτομέρους διακρίνων. εἶθ' ἑκατέρον πάλιν διαιρεῖ, τὸ μὲν λεπτομερὲς εἰς ἀέρα καὶ πῦρ, τὸ δὲ παχυμερὲς εἰς ὕδωρ καὶ γῆν, ἃ καὶ στοιχεῖα αἰσθήτα αἰσθητοῦ κόσμου, ὡσ ἀνεὶ θεμελίους προκατεβάλετο. πάλιν δὲ τὸ βαρὺ καὶ κοῦφον καθ' ἑτέρας ἔτεμνεν ἰδέας. τὸ μὲν κοῦφον εἰς ψυχρόν τε καὶ θερμόν· ἐπεφήμισεν δὲ τὸ μὲν ψυχρὸν ἀέρα τὸ δὲ θερμὸν φύσει πῦρ. τὸ δὲ βαρὺ εἰς ὑγρόν τε αὖ καὶ ξηρόν· ἐκάλεσεν δὲ τὸ μὲν ξηρὸν γῆν, τὸ δὲ ὑγρὸν ὕδωρ. ἕκαστον δὲ τούτων ἄλλας τομὰς ἐδέχετο. γῆ μὲν γὰρ εἰς ἠπείρους καὶ νήσους διήρειτο, τὸ δὲ

3. αναπηδᾶν (Pap. ανωπηδαιν). — γένους εἶδος. — 5. Pap. αγαπωσαν. — 7. ὀνομάσαι. — 9. ἐμπ. ὥστε ἐρυθρ. — 10. δεῖγμα δέ. — ἔλαβεν φησίν. — 12. φυλάξαντος. — 13. μέσα τὸ τίς οὐ προσθεὶς, ἵνα τὸν ἀδίδακτον ἐνν. — 15. αὐτοῦ. — Pap. δικαιων. — Om. γάρ. Autre coupe de phrase. — 16. ἐπειδ. δὲ μεχ. — 18. ἓν μῆκ. — γράμμασιν. — 22. τὰς μὲν γάρ. — 23. πολὺν δὲ καί. — 24. μόνον. — 25. Pap. μειη μέσα? — 26 οὐσίαν ὅτε τὸν κόσμ. — 27 τὸ μέν om. τε. — λεπτοτέρου. — 28. ὕδωρ τε καί. — Om. ἅ. — 29. Pap. τεμελιους. — 30. τὸ κοῦφον. — 32. Om. τὸ δέ.

Pag. XXII. ὕ[δωρ εἰς θάλασσαν καὶ ποταμοὺς], καὶ ὅσον πότιμον. ἀὴρ δὲ [εἰς] τὰς θέρους καὶ χειμῶνος [τρο]πὰς.
πῦρ δὲ εἰς τὸ χρειῶ[δες], ἄπληστον δέ ἐστιν καὶ φ[θαρ]τικὸν τοῦτο · καὶ κατ[ὰ τὸ ἐ]ναντίον εἰς τὸ σωτή-
ριον, ὅπερ εἰς τὴν οὐρανοῦ σύστασιν ἀπεκληροῦτο. ὥσπερ δὲ τὰ ὁλοσχερῆ, καὶ τὰ κατὰ μέρος τέμνειν,
ὧν τὰ μὲν ἄψυχα, τὰδ' ἔμψυχα ἦν · καὶ τῶν ἀψύχων, τὰ μὲν ἐν ταὐτῷ μένοντα, ὧν δεσμὸς ἕξις, τὰ δ'
5 οὐ μεταβατικῶς, ἀλλ' αὐξητικῶς κινούμενα, ἃ φύσις ἡ ἀφάνταστος ἐζώου. καὶ τούτων, τὰ μὲν τῆς
ἀγρίας ὕλης οἰστικὰ ἀγρίων καρπῶν, οἳ τροφὴ θηρίοις εἰσίν · τὰ δὲ τῆς ἡμέρου, ὧν γεωργεία τὴν
προστασίαν καὶ ἐπιμέλειαν ἔλαχεν. τίκτει δὲ καρπούς τῷ πάντων ἡμερωτάτῳ ζώων πρὸς ἀπόλαυσιν
ἀνθρώπων. καὶ μὴν ὃν τρόπον τὰ ἄψυχα καὶ τὰ ψυχῆς μεμοιράμενα διηρεῖ · τούτων γάρ, ἓν μὲν ἀλό-
γων, ἓν δὲ λογικῶν ἀπέκρινεν εἶδος · καὶ λάβων ἑκάτερον, πάλιν ἔτεμνεν τὸ μὲν ἄλογον εἰς ἀτίθασόν τε
10 καὶ χειρόηθες ἦθος · τὸ δὲ λόγικον εἰς ἄφθαρτόν τε καὶ θνητόν. καὶ τοῦ θνητοῦ δύο μοίρας εἰργάζετο,
Col. b. ὧν τὴν μὲν ἀν[δρῶν, τὴν δὲ γυναικ]ῶν ἐπ[εφήμισε, καὶ κατ' ἄλ]λον μέντοι τρόπον τὸ [ζῶον εἰς] ἄρρεν
ἔτεμνε καὶ θῆ[λυ. ἐδέχετ]ο δὲ καὶ ἄλλας ἀναγκαί[ας τομὰς, αἳ δ]ιέστελλον, πτηνὰ [μὲν χερσαίω]ν,
χερσαῖα δὲ [ἐνύδρ]ων, ἔνυδρα δὲ ἀμφοῖν τῶν ἄκρων. οὕτως ὁ θεὸς ἀκονη[σά]μενος τὸν τομέα τῶν
συ[μπά]ντων αὐτοῦ λόγον, διηρεῖ τήν τε ἄμορφον καὶ ἄπορον τῶν ὅλων οὐσίαν, καὶ τὰ ἐξ αὐτῆς ἀπο-
15 κριθέντα τέτταρα τοῦ κόσμου στοιχεῖα, καὶ τὰ διὰ τούτων παγέντα ζῶά τε αὖ καὶ φυτά. ἐπεὶ δ' οὐ
μόνον φησὶν, διεῖλεν, ἀλλὰ καὶ, μέσα διελεῖν ἀναγκαίως ἂν ὀλίγα περ τῶν ἴσων τμημάτων ὑπομνῆσαι.
μὲν τὸ γὰρ ἄκρως κατὰ μέσον διαιρεθὲν, ἴσα ἀποτελεῖ τμήματα. ἄνθρωπος μὲν οὖν οὐδεὶς δύνατ'
ἀγρίαν ποτε εἰς ἴσα διελεῖν οὐδὲν · ἀλλ' ἀνάγκη τῶν τμημάτων τὸ ἕτερον ἐνδεῖν ἢ περιττ[εύειν], καὶ
εἰ μὴ μείζονι ἀλλὰ τῷ βραχεῖ μέρει πάντως · ὃ τάχα [τὴν] αἴσθησιν ἐκφεύγει, τοῖς ἁ[δρο]μενεστέροις
20 ἐκ φύσεως [καὶ ἔθους] προσβάλλουσαν ὄγκοις, τ[οῦς δὲ] ἀτόμους καὶ ἀμερεῖς καταλαβεῖν ἀδυνατοῦσαν.
ἰσότη[τος δὲ, οὐδὲν ἧττον αἴτιον ἀδεκάστω λόγῳ τῆς ἀληθείας εὑρ[ίσ]κεται. ἔοικεν οὖν ὁ θεὸς μόνος
Pag. XXIII. ἀκριβοδίκαιος εἶναι, καὶ μέσα μόνος δύνασθαι διαιρεῖν, τά [τε σώ]ματα καὶ πρ[άγματα], ὡς μηδὲν τῶν
τμη[μάτων μη]δ' ἀκαρεῖ καὶ ἀμ[ερεῖ τινι πλέο]ν ἢ ἔλαττο[ν γενέσθαι], τῆς δὲ ἀνωτάτω καὶ ἄκρας ἰσό-
τ[ητο]ς μεταλαχεῖν ἰσχῦσαι. εἰ μὲν οὖν τὸ ἴσον μίαν εἶχεν ἰδέαν, ἱκανῶς ἂν τὰ λεχθέντα εἴρητο · πλειό-
25 νων δ' οὐσῶν, οὐκ ἀποκνητέον τὰ ἁρμόττοντα προσθεῖναι. λέγεται γὰρ ἴσον, καθ' ἕνα μὲν τρόπου ἐν
ἀριθμοῖς, ὡς δύο δυσὶν, καὶ τρία τρισὶν, καὶ τὰ ἄλλα ταύτῃ · καθ' ἕτερον δὲ ἐν μεγέθεσιν, ὧν μήκη,
πλάτη, βάθη, διαστάσεις εἰσὶν. παλαιστὴς γὰρ παλαιστῇ, καὶ πήχη πήχυς, ἴσα μεγέθει, δυνάμει
δέ ἐστιν ἄλλα, ὡς τὰ ἐν σταθμοῖς καὶ μέτροις, ἀναγκαία δέ ἐστιν ἰσότητος ἰδέα, καὶ ἡ [διὰ] ἀναλογίας,
καθ' ἣν καὶ τὰ [ὀλ]ίγα τοῖς πολλοῖς, καὶ τὰ [βρ]αχεῖα τοῖς μείζοσιν ἴσα νε[νό]μισται · ᾗ καὶ πόλεις
30 ἐπεὶ καιρῶν εἰώθασι χρῆσθαι κελεύουσαι τὸ ἴσον ἕκαστον τῶν πολιτῶν ἀπὸ τῆς οὐσίας εἰσφέρειν, οὐ

3. ὁλοσχ. οὕτω κ. — ἔτεμνεν. — 4. τὰ μὲν ἔμψ., τὰ δὲ ἄψ. — 5. ἄφατος. — 6. Pap. οιστιτικα. — ἐστί. — ἡμέρας. — 8. ἀνθρώπῳ κ. οὐ μόνον καθ' ἕνα τρόπ. — 9. λογ. ἀπέφηνεν εἶδ. ἀλλὰ καὶ τούτων ἕκαστον πάλιν διαιρεῖ τὸ μὲν ἄλ. εἰς ἄγριόν τε καὶ χειρ. εἶδος · τὸ δὲ λόγ. — 14. Pap. αμορφην. — ἄποιον. — 15 Pap. στοχεια (sic passim). — Om. αὖ. — 16. διεῖλεν. ἀναγκαῖον καὶ ἂν ὀλίγ. περὶ τῶν. — 17. Om. οὖν. — δύναιτ' ἄν ποτε. — 18. Om. καὶ. — 19. ἀλλά τοι βρ. — ὃ τὴν μὲν αἴσθ. Om. τάχα. — 21. ἀνισότητος δὲ οὐδὲν ἴσον ἔτι ἀδεκάστῳ λόγῳ... Turn... ἴσον. αἴτιον δὲ ἑκάστῳ λόγῳ. — 24. Pap. μελαχειν. — εἰ μὲν οὖν τοῦ ἴσου μία ἰδέα ἱκ. — 26. μεγέθει ὡς... ἃ διαστ. — 26-27 Pour μήκει, πλάτει etc. — 27 Pour πήχει. — 29. Pap. καιθην. — Om. τά.

δήπου ἐν ἀριθμῷ ἀλλ' ἀναλογίᾳ τοῦ περὶ τὸν καιρὸν τιμήματος, ὥστ' ὁ δραχμὰς ἑκατὸν εἰσενεγκὼν
τῷ τὸ [τά]λαντον εἰσενεγκόντι [δόξει ἂν ἐπιδεδ]ωκέναι τὸ ἴ[σον. τ]ού[των προ]ϋποτυπω[θέν]των, ἴδε Col. b.
πῶς μέσα διελ[ὼν] ἴσα διεῖλε κατὰ πάσας τὰς ἰσότητος ἰδέας ἐν τῇ τοῦ π[αντὸς] οὐρανοῦ γενέσει.
ἀριθμῷ μὲν οὖν ἴσα τὰ βαρέα τοῖς κούφοις ἔτεμνε, δύο δύ[σιν], γῆν καὶ ὕδωρ, τὰ βάρος ἔχοντα
τοῖς φύσει κούφοις, ἀέρι καὶ πυρί· καὶ πάλιν ἓν ἑνί, τὸ μὲν ξηρότατον τῷ ὑγρωτάτῳ, γῆν ὕδατι, 5
τὸ δὲ ψυχρότατον τῷ θερμοτάτῳ, πυρὶ ἀέρα. τὸν αὐτὸν δὲ τρόπον καὶ σκότος φωτὶ, καὶ ἡμέραν
νυκτὶ, καὶ χειμῶνι θέρος, καὶ ἔαρι μετόπωρον, καὶ ὅσα τούτων συγγενῆ. μεγέθει δ' ἴσα, ἐν οὐρανῷ
μὲν τοὺς προσαλλήλους κύκλους, τούς δὲ ἰσημερινοὺς, ἐαρινὸν καὶ μετοπωρινὸν, καὶ τοὺς τροπι-
κοὺς, θερινόν τε καὶ χειμερινόν· ἐπὶ γῆς δὲ ζώνας, δύο μὲν ἴσας ἀλλήλαις, αἳ πρὸς τοῖς πόλοις
εἰσὶν κατεψυγμέναι, καὶ διὰ ταῦτ' ἀοίκηται· δύο δὲ τὰς μεθορίους τούτων τε καὶ τῆς διακεκαυ- 10
μένης, ἃς δι' εὐκρασίαν φασὶν οἰκεῖσθαι, τὴν μὲν πρὸς τ[οῖ]ς νοτείοις, τὴν δὲ πρὸς τοῖς βορείοις
κειμένην, μήκει δὲ [ἴσα ἐστὶν καὶ τὰ χρόνου διαστήματα], ἡ μεγίστη [ἡμέρα τῇ μεγίστῃ[νυκτὶ, Pag. XXIV.
καὶ πάλιν [ἡ βραχυτάτη] τῇ βραχυτάτῃ κ[αὶ ἡ μέση] τῇ μέσῃ. τὰ δὲ τῶν [ἄλλων] ἡμερῶν τε
καὶ ν[υκτῶν, ἴσα] μεγέθη μάλιστα μη[νύειν] αἱ ἰσημερίαι δοκοῦσιν, [ἀπὸ] μὲν γὰρ τῆς ἐαρινῆς
ἄχ[ρι θερινῶν τροπῶν ἡ μὲν ἡμέρα πρόσθεσιν, ἡ δὲ νὺξ ἀφαίρεσιν δέχεται, ἕως ἂν ἥτε μεγίσ- 15
τη ἡμέρα καὶ βραχυτάτη νὺξ ἀποτελεσθῶσιν, ἀπὸ δὲ θερινῶν τροπῶν ἀνακάμπτων ἥλιος τὴν
αὐτὴν ὁδὸν, οὐδὲ θᾶττον, οὐδὲ βραδύτερον, [καὶ] κατὰ τὰ αὐτὰ ὡσαύ[τως] ἔχοντα διαστήματα.
[τά]χεσιν ἴσαις χρώμ[ενος, μέ]χρι τῆς μετοπωρινῆς ἰ]ση]μερίας ἔρχεται, καὶ ἴσην ἀ[πε]τελέ-
σα[ς ἡμέ]ραν νυκτὶ, παρ[αύ]ξιν [ἄρχεται] τὴν νύκτα, μειῶν τὴν ἡμέραν, ἄχρι χειμερινῆς
τρ[οπ]ῆς, καὶ ὅταν ἀποτελέσῃ νύκτα μὲν μεγίστην, ἡμέρ[αν δὲ βραχυ]τάτην, κα[τὰ τὰ αὐτὰ 20
πάλιν] διαστήματα ἀνακά[μπτ]ων ἐπὶ τὴν ἐαρινὴν ἰσημερίαν ἀφικ[νεῖται. οὕ[τως τὰ χρόνων
διαστήματα ἄνισα εἶναι δοκοῦντα, ἰσότη[τος] τῆς κ[ατὰ] τὸ μέγ[εθος ἐν οὐχὶ ταῖς αὐταῖς, ἀλλ' Col. b.
ἐν διαφε]ρούσαις [τοῦ ἔτους ὥραις μετα]ποι[εῖται. τὸ παρ[απλήσιον] μέν[τοι καὶ ἐν] τοῖ[ς μέρεσ]ιν
τῶν ζώων καὶ μάλιστα ἀνθρώπων θεωρεῖται. πούς γὰρ ποδὶ, καὶ χεὶρ χειρὶ, καὶ τὰ ἄλλα
σχεδὸν ἅπαντα ἴσα μεγέθει, τὰ ἐπὶ δεξιὰ τοῖς κατὰ τὰ εὐώνυμα. τὰ δὲ ἴσα δυνάμει πάμπολλά 25
ἐστιν, ἔν τε ξηροῖς καὶ ὑγροῖς, ὧν ἡ ἐπίκρισις ἐν μέτροις, καὶ πλάστιξι καὶ τοῖς παραπλησίοις
θεωρεῖται. ἀναλογίᾳ δ[ὲ σ]χεδὸν τὰ πάντα ἐνεστὶν [ἴσα], μικρὰ αὖ καὶ μεγάλα [ὅσ]α ἐν τῷ παντὶ
κόσμῳ. λέγουσιν γὰρ οἱ ἀκριβέστατα περὶ τῶν τῆς φύσεως ἐξητακότες, ὅτι ἀναλογίᾳ ἴσα τὰ τέτ-
ταρα στοιχεῖά ἐστιν· ἀναλογίᾳ δὲ καὶ ὁ κόσ[μος] ἅπας κραθεὶς, τὸ ἴσον ἑκ[άστῳ] τῶν μερῶν
ἀπονεμ[ούσῃ], συνέστη τε καὶ συσταθ[εὶς] εἰς ἅπαν διαμένει. [καὶ τὰ] περὶ ἡμᾶς μέντοι τ[έτταρα]. 30
ξηρὸν, ὑγρὸν, ψυχρόν τε καὶ [θερμὸ]ν, τὴν δι' ἀναλο[γίας] ἰσότητα, κερασαμένην ἁρμόσασθαι, καὶ

1. ἀναλόγως. — ὡς. — 3 Om. οὐρανοῦ. — 4. Om. οὖν. — 5. Pap. φυρι. — Om. καὶ. — 6. ἀέρα πυρί. — 7. Pap. αερι. — 7. Om. συγγενῆ. — 8. παραλλήλους. — τούς τε ἰσ. — Pap. αερινον. — 9. χειμ. καὶ θεριν. — 10. τοῦτο ἀοίκητοι (Pap. err. οικηται). — 14. Om. καί. — Pap. αερινης. — 15. Pap. ως αν. — Pour μεγίστη. — 16. ἡ βραχ. — Pap. αποτελεστωσιν. — ὁ ἥλιος. — 17. οὔτε... οὔτε. — βραδ., ἀλλὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχ. — 18. τάξεσιν. — 19. Pour παραύξειν. — 21. Pap. αερινην. — 24. Pap. om. χεὶρ. — 25. πάντα. — κατ' εὐών. — 27. Pap. αναλογιαῖ. — ἐστίν.. — 28. ἀκριβέστερον. — ἀναλ. μὲν ἴσα... — 31. τε αὖ καί. — κερασάμενα.

Pag. XXV. μηδὲν ἄλλὸ ἢ τὶ εἰ ἂν ἢ κράτησιν εἶν[αι τῶν] τεττάρων δυνάμε[ων ἀ]ναλογίας ἰσότητ[ι κραθεισῶν
ἐπιὼν] δὲ τίς ἕκ[αστα, μ]ῆκος [ἂν ἄπει]ρο[ν τῷ λόγῳ] δύναιτ' [ἂν πε]ριτ[εῖναι] · τὰ β[ρα]χ[ύτατα
ζῶα τοῖς μεγίστοις ἀ[ναλογί]ᾳ σκοπῶν ἴσα ἂν εὕρ[οι, ὡς] χελιδόνα αἰετῷ, καὶ τρ[ίγλαν] κήτει, καὶ
μύρμικα ἐλέφαντι. καὶ γὰρ σῶμα καὶ ψυχὴ καὶ πάθη ἀλγηδόνες τε καὶ ἡδοναὶ πρὸς δὲ καὶ οἰκειώ-
5 σεις καὶ ἀλλοτριώσεις, καὶ ὅσα ζώων φύσις χωρεῖ, πάντα σχεδόν ἐστιν ὁμοιότροπα, τῷ τῆς ἀναλογίας
ἰσούμενα κανόνι. οὕτως ἐθάῤῥησαν] ἔνιοι καὶ τῷ παντὶ [κ]ό[σμῳ] τὸ βραχύτατον ζῶον, ἄ]νθρωπον],
ἴσον ἀποφῆναι, κα[τιδόν]τες ὅτι ἑκάτερον ἐκ σώματος καὶ ψυχῆς καθέστη[κε] λογικῆς, ὥστε καὶ ἐναλ-
λάττοντες βραχὺν μὲν κόσμο[ν τὸν] ἄνθρωπον, μέγαν δὲ ἄνθρωπον ἔφασα[ν μέγα]ν κόσμον εἶναι.
ταῦτα δὲ [οὐκ ἀπὸ] σκοποῦ διδάσκου[σιν, ἀλ]λ' ἔγνωσαν ὅτι ἡ τοῦ [θεοῦ] τέχνη καθ' ἣν ἐδημιούργει
10 τὰ σύνπαντα, οὔτε ἐπίτασιν, οὔτε ἄνεσιν δεχο[μέ]νη, μένουσα δὴ ἡ αὐτή, κατὰ τὴν ἐν ὑπερβολαῖς
ἀκρότητα τελείως ἕκαστον τῶν ὄντων δεδημιούρ[γη]κε · πᾶσιν ἀριθμοῖς καὶ πάσαις ταῖς πρὸς τελειό-
Col. b. τητα ἰδέαις καταχρη[σαμένου τοῦ π]εποιηκότος. [κατὰ γὰρ τὸν μι]κρὸν καὶ κα[τὰ τὸν] μέγαν, ὥς φησι
Μωϋ[σῆς, ἔκ]ρινε, γεννῶν καὶ σχημα[τί]ζων ἕκαστα · μήτε δι' ἀφάνειαν ὕλης ὑφελῶν τι [τοῦ τεχ]νικοῦ
μήτε διὰ [λαμπ]ρότητα προσθείς. ἐ[πεὶ κ]αὶ ὅσοι τῶν τεχνιτῶν εἰσὶν δόκιμοι, ἃς ἂν παραλάβωσιν ὕλας,
15 εἴτε πολυτελεῖς εἶεν εἴτε καὶ εὐτελέσταται δημιουργεῖν ἐθέλουσιν ἐπαινετῶς. ἤδε δέ τινες καὶ προσφι-
λοκαλοῦντες, τὰ ἐν ταῖς εὐτελεστέραις οὐσίαις [τε]χνικώτερα τῶν ἐν ταῖς πολυτελέσιν εἰργάσαντο,
βου[λη]θέντες προσθήκῃ τοῦ ἐπιστημονικοῦ τὸ κατὰ τὴν ὕλην ἐνδέον ἐπανισῶσαι. τίμιον δ' οὐδὲν
τῶν ἐν ὕλαις παρὰ θ[εῷ, δ]ιὸ [τῆς] αὐτῆς μετέδωκε πᾶσ[ι τ]έχνης ἐξ ἴσου. παρ' ὃ [καὶ ἐν ἱερ]αῖς γρα-
φαῖς λέγεται, εἶδεν ὁ [θεὸς τὰ] πάντα ὅ[σα ἐ]ποί[ησεν, καὶ ἰ]δοὺ καλὰ λείαν. τὰ δὲ τοῦ αὐτοῦ τυγχά-
20 νοντα ἐπ[αίνου, παρὰ τῷ] ἐπαινοῦντι πάντως ἐστὶν ἰσότιμα. ἐπῄνεσεν δὲ ὁ θεὸς οὐ τὴν δημιουρ[γηθεῖ-
σαν ὕλ]ην, τὴν ἄψυχον καὶ πλημμελῆ καὶ δι[αλ]υτήν, ἔτι δὲ φθαρτὴν [ἐξ ἑα]υτ[ῆς, ἀνώμαλόν τε] καὶ
Pag. XXVI. ἄνισον, [ἀλλὰ τὰ ἑαυτοῦ] τεχνικὰ ἔργα, κατ[ὰ μίαν ἴσην] καὶ ὁμαλὴν δύν[αμιν καὶ ἐ]πιστήμην ὁμοίαν
[καὶ τὴν] αὐτὴν ἀποτελεσθ[έντα. παρ' ὃ καὶ τοῖς τῆς ἀ[ναλογίας] κανόσιν ἴσα καὶ ὅ[μοια πάν]τα πᾶσιν
ἐνομίσθη. κα[τὰ] τὸν τῆς τέχνης καὶ [ἐπιστήμ]ης λόγον. ἰσότητος δ[ὲ ε]ἰ καί τις ἄλλος ἐπαινέτης
25 γέγονε Μωϋσῆς. πρῶτον μὲν ὑμνῶν ἀεὶ καὶ πανταχοῦ, καὶ δικαιοσύνην ἧς ἴδιον, ὡς καὶ αὐτὸ δηλοῖ
τοὔνομα. τὸ δίχα τέμνειν εἰς μοίρας τά τε σώματα καὶ τὰ [πρά]γματα ἴσας · εἶτα ψέγων ἀδικίαν, τὴν
ἀνισότητος τῆς ἐχθίστου δημιουργόν. ἀνισότης δὲ τοὺς [διδ]ύμους πολέμους ἔτεκεν, τόν τε ξενικὸν καὶ
τὸν ἐμφύλιον, ὡς ἔμπαλιν εἰρήνην ἰσότης. τὰδ' ἐγκώμια δικαιοσύνης, καὶ τοὺς ψόγους ἀδικίας, ἐναργέ-
στατα διασυνίστησιν, ὅταν λέγῃ, οὐ ποιήσητε ἀδικίαν ἐν κρίσει, ἐν μέτροις, ἐν σταθμοῖς, ἐν ζυγοῖς · ζυγὰ
30 δίκαια, καὶ στάθμια δίκαια, καὶ μέτρα δίκαια, καὶ χοῦς δίκαιος ἔσται ὑμῖν. κ[αὶ ἐν ἐπινομ]ίδι, οὐκ ἔσται

1. ἄλλο ἢ κρᾶσιν εἶναι. — 2. περιθεῖναι. — 4. καὶ πάλιν ἀλγ. — 5. φύσ. ἔχει τὰ πάντ. — Pap. αναλογια. — 8. ἐναλλ. βραχὺν μὲν κόσμον τὸν ἄνθρωπον ἔφασαν μέγαν δὲ ἄνθρωπον τὸν κόσμον εἶναι. — 10. δὲ ἡ. — 11. Pap. πρὸ τελ. — 15. Pour ἐπαινετῶς : πολυτελῶς. — 17. βουληθέντας. — 18. αὑτοῦ. — 19. ἰδ. ἀγαθὰ σφόδρα τὰ δέ... — 21. διάλυτον. — 24. καὶ εἴ. — 25. πρῶτ. μ. αὐτὴν ὑμν. καὶ παντ. — καὶ δικαιοσύνης ἴδιον ὀνομάζων ὡς κ. αὐτ. που δηλ. Turn. même version moins ὀνομάζων. — 26. Om. τὰ πρ. — Om. ἴσας. — 27. Pour ἐχθίστου : αἰσχίστης. — 29. ἄδικον. — 30. Om. μέτρα δίκαια. — οὐκ ἔσται ἐν μαρσιππίῳ σοῦ στάθμιον ἀληθινὸν δὲ καὶ δίκαιον ἔσται · οὐχὶ δὲ στάθμιον μέγα καὶ μικρόν, ἵνα πληθυνθῶσιν αἱ ἡμέραι σοῦ ἐπὶ τῆς χθονὸς ἣν κύριος ὁ θεός δίδωσί σοι κληροδοσίαν. ὅτι βδέλυγμα κυρίῳ πᾶς ποιῶν τὰ ἄδικα.

[ἐν μαρσίπ]πῳ σοῦ στάθ[μιον καὶ στάθμιον μέγα ἢ μικρὸν· οὐκ ἔ]σται ἐν τῇ [οἰκίᾳ σοῦ μ]έ[τρον Col. b
κ]αὶ μέτρον μέγ[α ἢ μικρὸν· σ]τάθμιον ἀ[ληθ]ινὸν καὶ δίκαιον ἔσται σοι, [ἵνα] πολυήμερος γένῃ
ἐπὶ τῆς [γῆς ἣν κύριος ὁ θεός σου δίδωσί [σοι] ἐν κλήρῳ, ὅτι βδέλυγμα κυρίῳ, πᾶς ποιῶν ταῦτα
πᾶς ποιῶν ἄδικα. οὐκοῦν ὁ φιλοδίκαιος θεὸς ἀδικίαν βδελύττεται καὶ μεμείσηκεν, στάσεως καὶ κακῶν
ἀρχήν· πού δ' ἰσότητα τὴν δικαιοσύνης τροφὸν ὁ νομοθέτης οὐκ ἀποδέχεται, ἀρξάμενος ἀπὸ τῆς τοῦ 5
παντὸς οὐρανοῦ γενέσεως. διεχώρισεν γάρ, φησίν, ὁ θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ
σκότους· καὶ ἐκάλεσεν ὁ θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος νύκτα. ἡμέραν γὰρ καὶ νύκτα, καὶ φῶς καὶ
σκότος, ἰσότης ἔταξεν τοῖς οὖσιν. διεῖλεν ἰσ[ότης] καὶ τὸν ἄνθρωπον εἰς ἄνδ[ρα καὶ] γυναῖκα, δύο τμή-
ματα, [ἄνι]σα μὲν ταῖς ῥώμαις, πρ[ὸς ὃ] δὲ ἔσπευσεν ἡ φύσις, τρ[ίτου] τινὸς ὁμοίου γένεσιν, ἰσώτατα.
ἐποίησεν γάρ, φησίν, ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτὸν ἄρσεν καὶ θῆλυ ἐποίησεν 10
οὐκ ἔτ' αὐτόν, ἀλλ' αὐτούς, ἐπιφέρει πληθυντικῶς, ἐφαρμόττων τὰ εἴδη [τῷ] γένει, [διαιρεθέν]τα, Pag. XXVII.
ὡς εἶπον, ἰσ[ότητι. ψῦχός] γε μὴν καὶ καῦμα, καὶ [θέρος καὶ] ἔαρ ἀνέγραψε τὰς αἰτησίους ὥρας, πάλιν
τῷ αὐτῷ τομεῖ διαιρουμένας. αἵ γε μὴν πρὸ ἡλίου τρῖς ἡμέραι, ταῖς μεθ' ἥλιον ἰσάριθμοι γεγόνασιν,
ἑξάδος τμηθείσης ἰσότητι πρὸς αἰῶνος καὶ χρόνου δήλωσιν. αἰῶνι μὲν γὰρ τὰς πρὸ ἡλίου τρεῖς ἀνατέ-
θεικεν, χρόνου δὲ τὰς μεθ' ἥλιον, ὅς ἐστιν μείμημα αἰῶνος, τὰς δὲ τοῦ ὄντος πρώτας δυνάμεις, τήν τε 5
χαριστικὴν, καθ' ἣν ἐκοσμοπλάττειν, ᾗ προσαγορεύεται θεὸς, καὶ τὴν κολαστικὴν καθ' ἣν ἄρχει καὶ
ἐπιστατεῖ τοῦ γενομένου, ᾗ προσονομάζεται κύριος, ὑπ' αὐτοῦ φησὶν ἑστῶτος ἐπάνω μέσου διαστέλλε-
σθαι. λαλήσω σοι γὰρ φησίν, ἄνωθεν τοῦ ἱλαστηρίου ἀνὰ μέσον τῶν δυεῖν χαιρουβεὶν, ἵν' ἐπιδείξῃ ὅτι
αἱ πρεσβύταται τοῦ ὄντος δυνάμεις ἰσάζουσιν, ἥ τε δωρητικὴ, καὶ κολαστήριος, αὐτῷ τομεῖ χρώμεναι.
τί δ' αἱ στῆλαι τῶν γενικῶν δέκα νόμων, ἃς ὀνομάζειν πλάκας; οὐδ' εἰσὶν ἰσάριθμοι τοῖς τῆς ψυχῆς 20
[μέ]ρεσι λογικῷ καὶ ἀλόγῳ [ἃ παιδ]ευθῆναι καὶ σωφρονισθῆναι χρὴ τεμνόμεναι πάλιν ὑπὸ τοῦ Col. c
θεσ[μο]θέτου μόνου; αἱ γὰρ πλάκες ἔργον θεοῦ ἦσαν, καὶ ἡ γραφὴ γραφὴ θεοῦ κεκολλαμμένη ἐν ταῖς
πλαξί. καὶ μὴν τῶν ἐν αὐταῖς δέκα λόγων, οἳ κυρίως εἰσὶν θεσμοὶ, διαίρεσις ἴση γέγονεν εἰς πεντάδας
ὧν ἡ μὲν προτέρα τὰ πρὸς θεὸν δίκαια, ἡ δὲ ἕτερα τὰ πρὸς ἀνθρώπους περιέχει. τῶν μὲν οὖν πρὸς
θεὸν δικαίων πρῶτός ἐ[στ]ιν θεσμὸς, ὁ ἐναντιούμενος τῇ πολυθέῳ δόξῃ, διδάσκων ὅτι μοναρχεῖται ὁ 25
κόσμος. δεύτερος δὲ, ὁ περὶ τοῦ μὴ θεοπλαστεῖν τὰ μὴ αἴτια, γραφέων καὶ πλαστῶν ἐπιβούλοις τέ-
χναις, ἃς Μωϋσῆς ἐξήλασεν τῆς καθ' αὑτὸν πολιτείας, ἀίδιον φυγὴν ἐπ' αὐταῖς ψηφισάμενος, ἵνα ὁ μόνος
καὶ πρὸς ἀλήθειαν τιμᾶται θεὸς. τρίτος δὲ, ὁ περὶ ὀνόματος κυρίου, ὁ οὐδ' ἦλθεν εἰς γένεσιν, ἄῤῥητον
γὰρ τὸ ὄν, ἀλλὰ τοῦ ταῖς δυνάμεσιν ἐπιφειμισθέντος. διείρηται γὰρ αὐτὸ μὴ λαμβάνειν ἐπὶ ματαί]ω.
τέταρ[τος δὲ, ὁ περὶ τῆς] ἀεὶ παρθέ[νου καὶ ἀμήτορος] ἑβδομάδος, ἵνα τὴν ἀπραξίαν αὐτῆς μελετῶσα 30 Pag. XXVIII

3. Pap. [η]ς. — 4. μεμίσ. καὶ βδελ. — 5. Om. την. — Om. ουκ. — 6. καὶ διεχ. φησ. — 7. Om. ὁ θεός. — 8. Pap. ισοτητος ἔταξ. — Pap. ἰσοτατα. — 10. ἐποί. αὐτούς. — 12. Pap. παλι τω. — 14. Pap. προς αιωνας και χρονους δηλ. — 15. χρόνῳ. — τὰς δύο τοῦ... — 16. ἐκοσμοπλάστει ᾗ προσηγόρευται. — 18. δυοῖν χερουβίμ. — 19. ἡ κολ. — 20. ὀνομάζει. — δύο εσθν... Le Pap. a peut-être la forme interrogative. — 21. Pap. παιδευθηνεται. — τε και. — 22. Om. μόνου. — 23. ἐν ταύταις. — 24. Pap. πρωτερα. — ἡ δὲ δευτέρα. — 25. Om. ὁ. — 27. Pap. αις μωσης εξηλ. της κατ' αυτον. — ἐπ' αὐτοῖς. — Om. ὁ. — 28. κυρ. οὐχ ὃ διῆλθεν εἰς γ. — 29 τὸ ὄνομα ἀλλά... — ἐπιφ. ἀεί. εἴρηται. — 30. Om. ὁ.

γένεσ[ις, εἰς μ]νήμην τοῦ ἀοράτω[ς πάντα] ὁρῶντος ἔρχηται[ι. πέμπτος] δὲ, ὁ περὶ γονέων τιμῆς · καὶ γὰρ οὗτος ἱερὸς, ἔχων τὴν ἀναφορὰν οὐκ ἐπ' ἀνθρώπους, ἀλλ' ἐπὶ τὸν σπο[ρᾶς] καὶ γενέσεως τοῖς ὅλοις αἴτ[ιο]ν, παρ' ὃν μήτηρ τε καὶ πατὴρ γεννᾶν ἔδοξαν, οὐ γεννῶντες, ἀλλ' ὄργανα γενέσεως ὄντες. μεθόριος δ' ὁ θεσμὸς οὗτος ἐγράφη, τῆς τε πρὸς εὐσέβειαν τεινούσης πεντάδος, καὶ τῆς ἀποτροπὰς τῶν πρὸς τοὺς ὁμοίους ἀδικημάτων περιεχούσης. ἐπειδήπερ οἱ θνητοὶ γονεῖς τέλος εἰσὶν ἀθανάτων δυνάμεων, αἳ πάντα γεννῶσαι κατὰ φύσιν, ἐπέτρεψαν ὑστάτῳ καὶ τῷ θνητῷ γένει μειμησαμένῳ τὴν περὶ τὸ γεννᾶν τέχνην σπείρειν. ἀρχὴ μὲν γὰρ γενέσεως ὁ θεὸς, τὸ δ' ἔσχατον καὶ ἀτιμότατον τὸ θνητὸν εἶδος τέλος. ἡ δ' ἑτέρα πεντάς ἐστιν ἀπαγόρευσεις μοιχείας, ἀνδροφονίας, κλοπῆς ἐπιθυμίας, οὗτοι γενικοὶ
Col. b. σχεδὸν πάντων ἁμαρτημάτων εἰσὶν κανόνες, [ἐφ'] οὓς ἕκαστον ἀναφέρ[εσθαι τῶν ἐν εἴδ]ει συμβέβηκε. ἀλ[λὰ καὶ τ]ὰς ἐνδελεχεῖς θυσί[ας ὁ]ρᾷς εἰς ἴσα διηρημένας, ἥν τε ὑπὲρ ἑαυτῶν οἱ ἱερεῖς προσφέρουσι τῆς σεμιδάλεως, καὶ τὴν ὑπὲρ τοῦ ἔθνους τῶν δυεῖν ἀμνῶν, οὓς ἀναφέρειν διείρηται. πρωϊ γὰρ τὰ ἡμίση τῶν λεχθέντων καὶ τὰ ἕτερα δειληνῆς ἐκέλευσεν ἱερουργεῖν ὁ νόμος, ἵνα καὶ ὑπὲρ τῶν μεθ' ἡμέραν καὶ ὑπὲρ τῶν νύκτωρ ἀδρομένων ἅπασιν ἀγαθῶν ὁ θεὸς εὐχαριστῆται, ὁρᾷς καὶ τοὺς προστιθεμένους ἄρτους ἐπὶ τῆς ἱερᾶς τραπέζης, ὡς ἴσα μέρη διανεμηθέντες οἱ δώδεκα, ἀριθμῷ καὶ καθ' ἑξάδα τίθενται μνημεῖα τῶν ἰσαρίθμων φυλῶν, ὧν τὴν ἡμίσειαν ἡ ἀρετὴ Λεία κεκλήρωται ἓξ τεκοῦσα φυλάρχας, τὴν δὲ ἑτέραν ἡμίσειαν οἵ τε Ῥαχὴλ καὶ τῶν παλλάκων νόθοι. ὁρᾷς καὶ τοὺς ἐπὶ τοῦ ποδήρους δύο λίθους τῆς σμαράγδου, πρός τε τοῖς δεξιοῖς καὶ πρὸς τοῖς εὐωνύμοις ἰσότητι διηρημένους,
Pag. XXIX. οἷς καθ' ἑξάδα ἐγγέγλυπται τὰ τῶν δώδ[εκ]α φυλαρχῶν ὀνόμ[ατα θ]εῖα γράμματα, ἐστηλιτευμένα, θείων φύσεων [ὑπ]ομνήματα, τίδ' ; οὐχὶ δύο ὄρη συμβολικῶς δύο γένη λαβὼν καὶ πάλιν ἰσότητι διακρίνας ἀναλογούσῃ, τὸ μὲν ἀπένειμε τοῖς εὐλογοῦσι, τὸ δ' αὖ τοῖς καταρωμένοις; ἓξ ἐφ' ἑκατέρου στήσας, ἵνα τοῖς χρείοις νουθεσίας οὖσιν ἐπιδείξῃ, ὅτι καὶ ἰσάριθμοι εὐλογείαις αἱ ἀραὶ καὶ σχεδὸν, εἰ θέμις εἰπεῖν, ἰσότιμοι. ὁμοίως γὰρ οἵ τε ἔπαινοι τῶν [ἀγ]αθῶν, καὶ οἱ ψόγοι τῶν μοχθηρῶν ὠφελοῦσιν. ἐπὶ καὶ τὸ φύγειν τὸ κακὸν, τῷ τἀγαθὸν ἑλέσθαι, παρὰ τοῖς εὖ φρονοῦσιν ὅμοιον καὶ ταὐτὸν ἐνομίσθη. καταπλήττει με καὶ ἡ τῶν προσαγομένων τῷ ἱλασμῷ δυεῖν τράγων ἐπίκρισις ὁμοῦ καὶ διανομὴ, τεμνομένων ἀδήλῳ καὶ ἀτεκμάρτῳ τομεῖ, κλήρῳ. λόγων γὰρ δυεῖν ὁ μὲν τὰ τῆς θείας ἀρετῆς πραγματευόμενος ἀνιεροῦται καὶ ἀνατίθεται θεῷ, ὁ δὲ τὰ τῆς ἀνθρωπίνης κακοδαιμονίας ἐζηλωκὼς γενέσει τῇ φυγάδι. καὶ γὰρ ὃν ἔλαχεν αὕτη κλῆρον, ἀποπομπαῖον καλοῦσιν οἱ χρησμοὶ, ἐπειδὴ μετανίσταται
Col. b. καὶ διώκισται καὶ μακρὰ[ν ἀπελ]ήλασται σοφίας. ἐπ[ισήμω]ν γε μὴν [καὶ ἀσήμων] ὥσπερ νομι[σμά]των, οὕτως καὶ πρα[γμά]των ὄντων ἐν [τῇ φύσ]ει πολλῶν, ἀόρ[ατος[[τομ]εὺς οὐ δοκεῖ σοι διελεῖν

2. γεννήσεως. — 3. Pap. γενναῖν. — γεννήσεως. — 4. μεθόριος δὲ ὁ χρησμὸς οὗτος ἐτάγη. — οὔσης πεντ. — ἀποτροπήν. — 7. γεννήσεως. — 8. Pap. om. ἡ (δὲ ἑτ.). — κλοπ. ψευδομαρτυρίας ἐπιθ. — 10. ὑπὲρ αὑτῶν. — αὑτ. ἀνάγουσιν οἱ ἱερ. διὰ τῆς σεμιδ. — 12. τὰ ἕτερ. ἑσπέρας δειλιν. ἐκέλ. ὄντως ἱερ. ὁ νόμος ἵνα καὶ ὑπὲρ τῶν νύκτωρ ἀρδομένων ἅπ. ἀγαθ... — 14. ὡς εἰς ἴσα μ. (Pap. διανεμηθεντας) διαν. οἱ δώδεκα, καθ' ἑξάδα αριθμῷ, τιθ. — Ῥαχὴλ καὶ οἱ τῶν ἄλλων. Ὁρᾷς... — 17. δώδεκα λίθους. — Om. πρὸς (τ. εὖ). — 18. οἷς τὰ ἴσα καθ' ἑξ. — 19. Om. δύο (γέν). — 20. ἐξ ἑκατ. στήσας φυλάρχας. — 21. Om. αἱ. — 22. Pap. οφελουσιν. — 23. Pour ἐπει. — Om. τὸ (κακ.) et τὸ (ἀγ.). Pap. τω τα αγαθον. — νενόμισθαι. — 25. Pap. om. καὶ... κλήρῳ. — Pap. λογω γαρ. — 26. Pap. κακωδαιμονίας. — 28. διώκεται κ. μακ. απελήλαται. — 29. ὁ ἀόρ.

πάντ' εἰς μοίρας ἴσας, καὶ τὰ μὲν ἐπίσημα καὶ δόκειμα τῷ παιδείας ἐρα[στῇ], τῷ δὲ ἀμαθαίνοντι τὰ
ἀτύπωτα καὶ ἄσημα προσνεῖμαι; ἐγένετο γάρ, φησίν, τὰ μὲν ἄσημα τοῦ Λάβαν, τὰ δ' [ἐπί]σημα τοῦ
Ἰακώβ. ὡς γὰρ ἡ ψυχὴ τὸν ἥρινον, ὡς εἴπέ τις τῶν ἀρχαίων, ἐκμαγεῖον, σκληρὰ μὲν οὖσα καὶ ἀντίτυ-
πος, ἀπωθεῖ καὶ ἀποσείεται τοὺς ἐπιφερομένους χαρακτῆρας, καὶ ἀσχημάτιστος ἐξ ἀνάγκης διαμένει.
πειθήνιος δ' ὑπάρχουσα καὶ μετρίως ὑπείκουσα, βαθεῖς τοὺς τύπους δέχεται, καὶ ἀναμαξαμένη τὰς 5
σφραγῖδας ἄκρως διαφυλάττει τὰ ἐνσημανθέντα ἀνεξάλιπτα εἴδη. θαυμαστὴ μέντοι καὶ ἡ τοῦ τῶν
θυσιῶν αἵματος ἴση διανομή, ἣν ὁ ἀρχιερεὺς Μωϋσῆς φύσει διδασκάλῳ χρησάμεν[ος], διένιμε. λαβὼν
γάρ, φησί, τὸ ἥμισυ τοῦ αἵματος ἐνέχεεν εἰς κρατῆρας· τὸ δὲ ἥμισυ προσέχεεν πρὸς τὸ θ[υσιαστήριον, Pag. XXX.
ὅπως] ἀναδιδά[ξῃ, ὅτι τὸ σοφίας ἱερὸ]ν γένος [διττόν ἐστι, τὸ] μὲν θεῖον, τὸ δ' [ἀνθρώπι]νον. καὶ τὸ μ[ὲν
θεῖον ἀμιγὲς] καὶ ἄκρατον, οὗ ἕ[νεκ]α τῷ ἀμιγεῖ καὶ ἀκράτῳ καὶ κατὰ τὴν μόνωσιν μονάδι ὄντι σπέν- 10
δεται θεῷ· τὸ δὲ μεικτὸν καὶ κεκραμένον, τοῦ μεικτοῦ καὶ συνθέτου καὶ κεκραμένου γένους κατασκεδάν-
νυται ἡμῶν ὁμόνοιαν καὶ κοινωνίαν· καὶ τί γὰρ ἄλλο ἢ κρᾶσιν μερῶν τε καὶ ἠθῶν ἐργασόμενον, ἀλλὰ
γὰρ καὶ τῆς ψυχῆς τὸ μὲν ἀμιγὲς καὶ ἄκρατον μέρος ὁ ἀκραιφνέσ[τατος] νοῦς ἐστιν, ὃς ἀπ' οὐρανοῦ
καταπνευσθ[εὶς ἄνωθεν], ὅταν ἄνοσος κ[αὶ ἀπήμ]ων διαφυλαχθῇ τῷ καταπνεύσαντι καὶ ἀπαθῆ παντὸς
κακοῦ διαφυλάξαντι, προσηκόντως ὁ λόγος εἰς ἱερὰν σπονδὴν ἀναστοιχειωθεὶς ἀνταποδίδοται. τὸ δ' αὖ 15
μικτὸν γένος τὸ αἰσθήσεών ἐστιν, ᾧ κρατῆρας οἰκείους ἡ φύσις ἐδημιούργησε. κρατῆρες δὲ ὁράσεως
μὲν ὀφθαλμοί, ἀκοῆς δὲ ὦτα, [καὶ] μυκτῆρες ὀσφρή[σεως, καὶ τού]των ἄλλων [αἱ ἁρμόττουσαι δεξα-
μεναί. τούτοις ἐπιχεῖ τοῖς κρατῆρσιν ὁ ἱερὸς λόγος τοῦ αἵματος, ἀ]ξιῶν [τὸ] ἄλογον [ἡμῶν μέ]ρος Col. 1.
ψυχωθῆναι. [καὶ τρόπον] τινὰ λογικὸν [γενέσθ]αι· ταῖς μὲν νουθε[σίαις π]εριόδοις ἀκολ[ου]θῆσαν,
ἁγνεῦσαν δὲ τῶν ὁλκὸν ἀπαταιῶνα προ[τει]νόντων δύναμιν αἰσθητῶν. ἆρά γε οὐχὶ τούτον τὸν τρόπον 20
καὶ τὸ δίδραχμον διενεμήθη τὸ ἅγιον; ἵνα τὸ μὲν ἥμισυ αὐτοῦ, τὴν δραχμήν, καθιέρωμεν, λύτρα τῆς
ἑαυτῶν ψυχῆς κατατιθέντες· ἣν ὁ μό[νος] ἀψευδῶς ἐλεύθερος καὶ ἐλευθεροποιὸς θεὸς ὠμῆς καὶ πικρᾶς
παθῶν καὶ ἀδικημάτων δεσποτείας, ἱκετευθεὶς, ἔστιν δ' ὅτε καὶ χωρὶς ἱκεσίας ἀνὰ κράτος ἐγλύει. τὸ δὲ
ἕτερον μέρος τῷ ἀνελευ[θέρ]ῳ καὶ δουλοπρεπεῖ γένει καταλίπωμεν, οὗ κεκοινώνηκεν ὁ λέγων, ἠγάπηκα
τὸν κύριόν μου, τὸν ἡγεμόνα ἐν ἐμοὶ νοῦν, καὶ τὴν γυναῖκά μου, τὴν φίλην καὶ οἰκουρὸν παθῶν αἴσθη- 25
σιν, καὶ τὰ παιδία, τὰ κατὰ τούτων ἔγγονα, οὐκ ἄπειμι ἐλεύθερος. ἀνάγκη γὰρ καὶ τῷ τοιούτῳ γένει
κλῆρον ἄκληρον καὶ ἀποπομ[παῖον ἐ]κ τοῦ [δι]δράχμου [δοθῆναι], τῇ ἐναντίον [ἀνατεθει]μένῃ Pag. XXXI
δραχμῇ τε καὶ μο[νάδι, μο]νὰς δὲ οὔτε προσθ[ήκην, οὔ]τε ἀφαίρεσιν δέχ[εσθαι πέ]φυκεν, εἰκὼν οὖσα
[τοῦ μό]νου πλήρους θεοῦ. χαῦνα γὰρ τὰ τε ἄλλα ἐξ ἑαυτῶν. εἰ δέ που καὶ πυκνωθείη, λόγῳ σφίγγε-
ται θείῳ. κόλλα γὰρ καὶ δεσμὸς οὗτος, πάντα τῆς οὐσίας ἐκπεπληρωκώς· ὁ δ' εἴρας καὶ συνυφήνας 30

1. Om. πάντα. — ἐπ. τ. παιδ. ἐρ. καὶ δόκιμα. — 3. Ἰακ. ἡ γὰρ ψυχή. — Pap. ουσαν. — 4. ἀντωθεῖ. — 6. ἀκριβῶς. — Om. τῶν. — 10. ἕνωσιν.... σπένδει θ. τὸ δὲ ἀνθρώπινον μικτὸν καὶ κεκρ., ὃ τοῦ μ. — 12. μελῶν. — 13. Om. καί. — 15. ὅλος. Turn. προσηκόντος ὅλως εἰς ἱερὰν σπουδήν. — 16. Pour γένος : μέρος. — Pap. κρατηρας. — 17. Om. ἄλλων. — 19. Pap. περιοδους. — 20. Pap. αγν. των δε των ολκ. — προτειναντων. — τούτῳ τρόπῳ. — 21. καθάρωμεν. Pap. καθ' ιερωνεν. — 22. Om. αψευδῶς. — 23. ἱκετείας. — Pap. om. τὸ δὲ.... ἀν. incl. — 24. Pap. καταλιπομεν. — 25. ἠγάπ. μου τ. κύρ. — 26. τὰ κακὰ τούτων. — 27. ἐναν. τῇ ἀνατ. (Pap. την εναντιον). — 29. πυκνωθὲν εἴη λόγ. — 30. γάρ ἐστι κ. — τὰ (πάντα).

ἕκαστα πλήρης αὐτὸς ἑαυτοῦ κυρίως ἐστίν, οὐ δεηθεὶς ἑτέρου τὸ παράπαν. εἰκότ[ως] οὖν ἐρεῖ Μωϋσῆς, ὁ πλουτῶν οὐ προσθήσει, καὶ ὁ πενόμενος οὐκ ἐλαττώσει ἀπὸ τοῦ ἡμίσους τοῦ διδράχμου, ὅπερ ἐστίν, ὡς ἔφην, δραχμή τε καὶ μονὰς ἡ · πᾶς ἂν ἀριθμὸς εἴποι τὸ ποιητικὸν ἐκεῖνο.

ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι.

λήγει τε γὰρ ἀναλυόμενος ὁ κατὰ σύνθεσιν ἀπειράκις ἄπειρος ἀριθμὸς εἰς μονάδα, ἄρχεται τε αὖ πάλιν ἀπὸ μονάδος, εἰς ἀπερίγραφον συντιθέμενος πλῆθος. διόπερ οὐδ' ἀριθμὸν ἀλλὰ στοιχεῖον καὶ ἀρχὴν ἀριθμοῦ ταύτην ἔφασαν, οἷς ζη[τεῖν ἐπι]μελ[ές. ἔτι τοί]νυν τὴν οὐράνιον τροφὴν, σοφία δὲ
Col. b. ἐστίν, τ[ῆς ψυχῆς, ἣν καλεῖ] μάννα, δια[νέμει πᾶσι τοῖς] χρησο[μένοις] λόγος ἐξ ἴσου, πε[φρον-τικ]ὼς διαφερόντως ἰσότητος. μαρτυρεῖ δὲ Μωϋσῆς λέγων, οὐκ ἐπλεόνασεν ὁ τὸ πολὺ, καὶ ἔλαττον οὐκ ἐλαττῶσε, ἡνίκα τῷ τῆς ἀναλογίας ἐχρήσαν τῷ θαυμαστῷ καὶ περιμαχήτῳ μέτρῳ. δι' οὗ συνέβη μαθεῖν, ὅτι ἕκαστος εἰς τοὺς καθήκοντας παρ' αὐτῷ συνέλεξεν οὐκ ἀνθρώπους μᾶλλον, ἢ λογισμοὺς καὶ τρόπους ἃ γὰρ ἐπέβαλλεν ἑκάστῳ, τοῦτ' ἀπεπληρώθη προνο[ητικ]ῶς, ὡς μήθ' ὑστερεῖσαι, μήτ' αὖ περιττεῦσαι. τὸ δὲ παραπλήσιον τῆς κατὰ ἀναλογίαν ἰσότητός ἐστιν εὑρεῖν, καὶ ἐπὶ τοῦ λεγομένου πάσχα. πάσχα δέ ἐστιν, ὅταν ἡ ψυχὴ τὸ μὲν ἄλογον πάθος ἀποπαθεῖν μελετᾷ, τὴν δ' εὔλογον εὐπάθειαν ἑκουσίως πάσχει. διείρηται γὰρ, ἐὰν ὀλίγοι ὦσιν οἱ ἐν τῇ οἰκίᾳ, ὥστε μὴ [ἱκανοὺς εἶναι
Pag. XXXII. εἰς] τὸ πρό[βατον, τὸν πλησί]ον γείτονα [προσλαβεῖν ψυχῶν κατ' ἀριθμ]ὸν, [ἵν' ἕκαστος τὸ ἀρκοῦν αὐτῷ συ]ναριθμῆται μ[οίρας, ἥ]ς ἐστὶν ἐπάξιός τε κα[ὶ χρεῖος] εὑρισκόμενος. ἐπ[ειδὰν δὲ] καὶ τρόπον χώρας τὴν ἀρετὴν εἰς τοὺς οἰκήτορας αὐτῆς ἐθελήσῃ διανέμειν, τοῖς πλείοσιν πλεονάζειν, καὶ τοῖς ἐλάττοσιν ἐλαττοῦν τὴν κατάσχεσιν προστάττει, δικαιῶν μήτε τοὺς μείζους ἐλαττόνων ἀξιοῦν, κενοὶ γὰρ ἐπιστήμης ἔσονται, μήτε τοὺς ἐλάττους μειζόνων · χωρῆσαι γὰρ τὸ μέγεθος αὐτῶν οὐ δυνήσονται. τῆς δὲ κατ' ἀριθμὸν ἰσότητος ἐναργέστατον δεῖγμά ἐστιν τά τε τῶν δώδεκα ἀρχόντων ἱερὰ δῶρα, καὶ ἔτι τὰ ἀπὸ τῶν δώρων διανεμόμενα τοῖς ἱερεῦσιν. ἑκάστῳ γὰρ, φησὶν, τῶν υἱῶν Ἀαρὼν ἔσται τὸ ἴσον. παγκάλη δὲ καὶ ἡ περὶ τὴν σύνθεσιν τῶν ἐκθυμιωμένων ἐστὶν ἰσότης. λεγέται γὰρ, λάβε σεαυτῷ ἡδύσματα, στακτὴν, ὄνυχα, καὶ χαλβάνην ἡδυσμοῦ, καὶ λίβανον διαφανῆ, ἴσον ἴσῳ, καὶ
Col. b. ποιήσουσιν αὐτῷ θυμίαμα, μύρον, μυρεψοῦ ἔργον, συνθέ σεως καθα[ρᾶς], ἔργον ἅγ[ιο]ν, ἕκαστον [γὰρ] τῶν μ[ερ]ῶν ἑκάστῳ φησ[ὶν] δεῖν ἴσον συνέρχεσθαι πρὸς τὴν τοῦ ὅλου κρᾶσιν. ἔστιν οἶμαι τὰ τέτταρα ταῦτα ἐξ ὧν τὸ θυμίαμα συντίθεται σύμβολα τῶν στοιχείων, ἐξ ὧν ἀπετελέσθη σύνπας ὁ κόσμος. στακτὴν μὲν γὰρ ὕδατι, γῇ δὲ ὄνυχα, χαλβάνην δὲ ἀέρι, τὸν δὲ διαφανῆ λιβανωτὸν πυρὶ ἀπεικάζει. στακτὴ μὲν γὰρ παρὰ τὰς σταγόνας ὑδατῶδες · ξηρὸν δὲ ὄνυξ καὶ γεῶδες · ἡ δὲ χαλβάνη τοῦ ἡδυσμοῦ πρὸς τὴν ἀέρος ἔμφασιν προσετέθη, τὸ γὰρ εὐῶδες ἐν ἀέρι · τῷ δὲ λιβα-

1. Pap. του παράπαν. — 5. ἄρχεται δ' αὖ. — 6. διόπερ οὐκ ἀριθμόν. — 7. Om. σοφία δὲ ἐστὶν τῆς (ψ.). — 8. λόγος θεῖος ἐξ ἴσ. — 9. οὐκ ἐπλ. ᾧ τὸ πολ., καὶ ᾧ τὸ ὀλίγον, οὐκ ἐλαττόνησεν. — 10. ἐχρήσαντο θαυμαστῷ. — 12. ὃ γὰρ ἐπέβ. ἑκάστ. τοῦτ' ἀπεκληρώθη προν. ὡς μήτε. — Pour ὑστερῆσαι. — 14. ἀπομαθεῖν. — Pap. τη δ' εὔλ. 15. — Pour πάσχῃ. — 16. κατ' ἀριθ. ψυχῶν ἵν... — 17. τρόπῳ. — 19. La parenthèse κενοὶ γὰρ επιστήμης ἔσονται (voir plus loin) est placée après πλεονάζειν. (Pap. πλεοαναζειν). — Pap. μετε. — 20. μήτε μὴν τοὺς ἐλ. — αὐτῶν τὸ μέγ. — 23. παγκάλως. — 24. διαφ. ἐξαίρετον ἐξαιρέτῳ ἴσον... — 26. ἔστι δ' οἶμαι. — 28. λίβανον. — 29. Pap. στακτην..... σταγωνας. — Pap. τηι δε χαλβανηι το ηδυσμου..... προσετεθες. — 30. λιβάνῳ.

νωτῷ τὸ διαφανὲς, πρὸς φωτὸς ἔνδειξιν · διὸ καὶ τὰ βάρος ἔχοντα τῶν κούφων διεχώρησεν, τὰ μὲν τῷ συμπλεκτικῷ συνδέσμῳ ἑνώσας, τὰ δὲ διαλελυμένως ἐξαναγκών, ἔφη γὰρ, λάβε σεαυτῷ ἡδύσματα στακτὴν, ὄνυχα. ταῦτα ἀσύνδετα τῶν βάρος ἐχόντων, ὕδατός τε καὶ γῆς σύμβολα. εἶτα ἀφ' ἑτέρας ἀρχῆς μετὰ συμπλοκῆς, καὶ χαλβάνην ἡδυσμοῦ, καὶ λίβανον διαφανῆ, ταῦτα πάλιν καθ' ἑαυτὰ τῶν κούφων, ἀέρος καὶ π[υρ]ὸς τὰ σημεῖα. τὴν δὲ τούτων ἐμμελῆ σύνθεσίν [τε καὶ κρᾶ]σιν, τὸ πρεσβύ[τατον καὶ τελειό]τατον ἔργον ἅγιον, ὡς ἀληθῶς εἶναι συμβέβηκε τὸν κόσμον, ὃν διὰ συ[μβόλου] τοῦ [θυμι]άματος οἴεται δεῖν εὐχαριστεῖν τῷ πεποιηκότι · ἵνα Pag. XXXIII. λόγῳ μὲν ἡ μυρεψικὴ τέχνη κατασκευασθεῖσα σύνθεσις ἐκθυμιᾶται, ἔργῳ θείᾳ σοφίᾳ δημιουργηθεὶς κόσμος ἅπας ἀναφαίρηται, πρωΐ καὶ δειλινῆς ὁλοκαυτούμενος. βίος γὰρ ἐμπρεπὴς κόσμῳ, τῷ πατρὶ καὶ ποιητῇ συνεχῶς καὶ ἀδιαστάτως εὐχαριστεῖν, μόνον οὐκ ἐκθυμιῶντι καὶ ἀνα- στοιχειοῦντι ἑαυτὸν, πρὸς ἔνδειξιν τοῦ μηδὲν θησαυρίζεσθαι, ἀλλὰ ὅλον ἑαυτὸν ἀνάθημα ἀνάτιθέναι τῷ γεγεννηκότι θεῷ. θαυμάζω καὶ τὸν μετὰ σπουδῆς ἀπνευστεὶ δραμόντα συντόνως ἱερὸν λόγον, ἵνα στῇ μέσος τῶν τεθνηκότων καὶ τῶν ζώντων. εὐθὺς γάρ, φησὶ Μωϋσῆς, ἐκόπασεν ἡ θραῦσις. ἀλλ' οὐκ ἔμελλε κοπάσαι καὶ ἐπικουφίσαι τὰ περιθρύπτοντα καὶ συντρίβοντα τὴν ἡμετέραν ψυχὴν, δ[ια]κρίνοντος καὶ διατειχέσαντος τοῦ θ[εοφιλοῦς το]ὺς ὁσίους, οἳ ζῶσιν ἀ[ψευδῶς], ἀπὸ τῶν ἀ[νοσίων, οἳ τεθνή]κασι πρὸ[ς ἀ]λήθειαν, λο[γισμῶν. τῷ γὰρ] Col. b. ἐγγὺς εἶναι [πολλάκις] νοσούντων, καὶ οἱ [σφόδρα] ὑγιαίνοντες ἐγδε[ξάμεν]οι τὴν ἐκείνων νόσον, ἐμέλλησαν τελευτῆσαι. τοῦτο δὲ ἀμήχανον ἔτι παθεῖν ἢν διαζευχθέντα ὅρῳ μέσῳ παγέντι δυνατωτάτῳ, ὃς τὰς ἐφόδους καὶ ἐπιδρομὰς τοῦ χείρονος ἀπὸ τοῦ βελτείονος ἀπώσει. τεθαύμακα δὲ ἔτι μᾶλλον, ἐπειδὰν κατακούων τῶν λογίων ἀναδιδάσκομαι, ὃν τρόπον εἰσῆλθεν ἡ νεφέλη μέσηι τῆς τε Αἰγυπτιακῆς καὶ τῆς Ἰσραηλιτικῆς στρατιᾶς. ὑπὸ γὰρ τοῦ φιλοπαθοῦς καὶ ἀθέου τὸ ἐγκρατὲς καὶ τὸ θεοφιλὲς γένος οὐκ ἔτ' εἴασεν διώκεσθαι, τὸ σκεπαστήριον καὶ σωτήριον τῶν φίλων, ἀμυντήριον δὲ καὶ κολαστήριον τῶν ἐχθρῶν ὅπλον, ἡ νεφέλη. διανοίαις μὲν γὰρ ἀρετώσαις ἠρέμα σοφίαν ἐπιψακάζει, τὴν ἀπαθῆ φύσει παντὸς κακοῦ · λυπρ[αῖς] δὲ καὶ ἀγόνοις ἐπιστήμης ἀθρόας κατανίφει τιμωρίας, κατακλυσμ[ῶν] φθορὰν οἰκτίστην ἐπι[φέ]ρουσα. τῷ [δὲ ἀρ]χαγέ[λῳ] καὶ πρε[σβυτάτῳ λόγῳ δωρεὰν ἔδωκεν] ἐξαίρετον ὁ τὰ ὅλα [γεννήσας] πατὴρ, Pag. XXXIV. ἵνα μεθόριο[ς στὰς τὸ] γενόμενον διακρίν[ῃ τοῦ] πεποιηκότος. ὁ δ' αὐ[τὸς ἱκέ]της μὲν ἐστι τοῦ θν[ητοῦ] κηραίνοντος αἰεὶ πρὸς τὸ ἄφθαρτον, πρεσβυτὴς δὲ τοῦ ἡγεμόνος πρὸς τὸ ὑπήκοον. ἀγάλλεται δὲ ἐπὶ τῇ δωρεᾷ, καὶ σεμνυνόμενος αὐτὴν ἐκδιηγεῖται φάσκων, κἀγὼ ἱστήκειν ἀνὰ μέσον κυρίου καὶ ὑ[μῶν], οὔ[τε ἀγέννητος] ὡς ὁ θεὸς [ὢν, οὔ]τε γεν[νητὸς] ὡς ὑμεῖς, ἀλλὰ μέσος τῶν ἄκρων, ἀμφοτέροις ὁμηρεύων · παρὰ μὲν τῷ φυτεύσαντι, πρὸς πίστιν τοῦ μὴ σύμπαν ἀφηνιάσαι ποτὲ καὶ ἀποστῆναι τὸ γεγονὸς, ἀκοσμίαν ἀντὶ κόσμου ἑλόμενον · παρὰ δὲ τῷ

1. Pour διεχώρισε. — 2. ἔφησε λάβε. — 7. Pap. ευχαρισταν. — 8. ἔργῳ δὲ ὁ θ. — 12. Pap. γεγεινηκοτι. — 14. περ. καὶ καταγνύντα καὶ συντρ. τὴν ἡμετ. ψυχὴν μὴ διατειχισαντος... — 16. λογισμοῦ. — 18. ἀμήχ. ἢν ἔτι... — Pap. διαζευχθεντας. — 19. τοῦ χείρονος (Pap. χειρος) μέρους..... ἀνασώσει. — 20. τῶν ἁγίων λογ. ἀναδιδράσκωμαι. — Om. ἡ. — 21. Om. τε. — 23. Turn. ὅπλων. — 24. Pap. ημερα. — ἐπιψεκάζει. — Om. φυσει. — 25. Pap. επιφερους. — 26. δωρεὰν ἐξαίρ. ἔδωκεν. — 28. πρεσβευτής. — 29. Pour εἱστήκειν. — 32 ἀφανίσαι.... τὸ γένος ἀκοσμ.

ἕκαστα πλήρης αὐτὸς ἑαυτοῦ κυρίως ἐστίν, οὐ δεηθεὶς ἑτέρου τὸ παράπαν. εἰκότ[ως] οὖν ἐρεῖ Μωϋσῆς, ὁ πλουτῶν οὐ προσθήσει, καὶ ὁ πενόμενος οὐκ ἐλαττώσει ἀπὸ τοῦ ἡμίσους τοῦ διδράχμου, ὅπερ ἐστίν, ὡς ἔφην, δραχμή τε καὶ μονὰς ἧ· πᾶς ἂν ἀριθμὸς εἴποι τὸ ποιητικὸν ἐκεῖνο.

ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι.

λήγει τε γὰρ ἀναλυόμενος ὁ κατὰ σύνθεσιν ἀπειράκις ἄπειρος ἀριθμὸς εἰς μονάδα, ἄρχεται τε αὖ πάλιν ἀπὸ μονάδος, εἰς ἀπερίγραφον συντιθέμενος πλῆθος. διόπερ οὐδ' ἀριθμὸν ἀλλὰ στοιχεῖον καὶ ἀρχὴν ἀριθμοῦ ταύτην ἔφασαν, οἷς ζη[τεῖν ἐπι]μελ[ές. ἔτι τοί]νυν τὴν οὐράνιον τροφήν, σοφία δὲ
Col. b. ἐστίν, τ[ῆς ψυχῆς, ἣν καλεῖ] μάννα, δια[νέμει πᾶσι τοῖς] χρησο[μένοις] λόγος ἐξ ἴσου, πε[φροντικ]ὼς διαφερόντως ἰσότητος. μαρτυρεῖ δὲ Μωϋσῆς λέγων, οὐκ ἐπλεόνασεν ὁ τὸ πολὺ, καὶ ἔλαττον οὐκ ἐλαττῶσε, ἡνίκα τῷ τῆς ἀναλογίας ἐχρήσαν τῷ θαυμαστῷ καὶ περιμαχήτῳ μέτρῳ. δι' οὗ συνέβη μαθεῖν. ὅτι ἕκαστος εἰς τοὺς καθήκοντας παρ' αὐτῷ συνέλεξεν οὐκ ἀνθρώπους μᾶλλον, ἢ λογισμ[οὺ]ς καὶ τρόπους ἃ γὰρ ἐπέβαλλεν ἑκάστῳ, τοῦτ' ἀπεπληρώθη προνο[ητικ]ῶς, ὡς μήθ' ὑστερεῖσαι, μήτ' αὖ περιττεῦσαι. τὸ δὲ παραπλήσιον τῆς κατὰ ἀναλογίαν ἰσότητός ἐστιν εὑρεῖν, καὶ ἐπὶ τοῦ λεγομένου πάσχα. πάσχα δέ ἐστιν, ὅταν ἡ ψυχὴ τὸ μὲν ἄλογον πάθος ἀποπαθεῖν μελετᾷ, τὴν δ' εὔλογον εὐπάθειαν ἑκουσίως πάσχει. διείρηται γὰρ, ἐὰν ὀλίγοι ὦσιν οἱ ἐν τῇ οἰκίᾳ, ὥστε μὴ [ἱκανοὺς εἶναι
Pag. XXXII. εἰς τὸ πρόβατον, τὸν πλησί]ον γείτονα [προσλαβεῖν ψυχῶν κατ' ἀριθμ]ὸν, [ἵν' ἕκαστος τὸ ἀρκοῦν αὑτῷ συ]ναριθμῆται μ[οίρας, ἥ]ς ἐστὶν ἐπάξιός τε κα[ὶ χρεῖος] εὑρισκόμενος. ἐπ[ειδὰν δὲ] καὶ τρόπον χώρας τὴν ἀρετὴν εἰς τοὺς οἰκήτορας αὐτῆς ἐθελήσῃ διανέμειν, τοῖς πλείοσιν πλεονάζειν, καὶ τοῖς ἐλάττοσιν ἐλαττοῦν τὴν κατάσχεσιν προστάττει, δικαιῶν μήτε τοὺς μείζους ἐλαττόνων ἀξιοῦν, κενοὶ γὰρ ἐπιστήμης ἔσονται, μήτε τοὺς ἐλάττους μειζόνων· χωρῆσαι γὰρ τὸ μέγεθος αὐτῶν οὐ δυνήσονται. τῆς δὲ κατ' ἀριθμὸν ἰσότητος ἐναργέστατον δεῖγμά ἐστιν τά τε τῶν δώδεκα ἀρχόντων ἱερὰ δῶρα, καὶ ἔτι τὰ ἀπὸ τῶν δώρων διανεμόμενα τοῖς ἱερεῦσιν. ἑκάστῳ γὰρ, φησὶν, τῶν υἱῶν Ἀαρὼν ἔσται τὸ ἴσον. παγκάλη δὲ καὶ ἡ περὶ τὴν σύνθεσιν τῶν ἐκθυμιωμένων ἐστὶν ἰσότης. λεγέται γὰρ, λάβε σεαυτῷ ἡδύσματα, στακτὴν, ὄνυχα, καὶ χαλβάνην ἡδυσμοῦ, καὶ λίβανον διαφανῆ, ἴσον ἴσῳ, καὶ
Col. b. ποιήσουσιν αὐτῷ θυμίαμα, μύρον, μυρεψοῦ ἔργον, συνθέ σεως καθα[ρᾶς], ἔργον ἅγ[ιο]ν, ἕκαστον [γὰρ] τῶν μ[ερ]ῶν ἑκάστῳ φησ[ὶν] δεῖν ἴσον συνέρχεσθαι πρὸς τὴν τοῦ ὅλου κρᾶσιν. ἔστιν οἶμαι τὰ τέτταρα ταῦτα ἐξ ὧν τὸ θυμίαμα συντίθεται σύμβολα τῶν στοιχείων, ἐξ ὧν ἀπετελέσθη σύνπας ὁ κόσμος. στακτὴν μὲν γὰρ ὕδατι, γῇ δὲ ὄνυχα, χαλβάνην δὲ ἀέρι, τὸν δὲ διαφανῆ λιβανωτὸν πυρὶ ἀπεικάζει. στακτὴ μὲν γὰρ παρὰ τὰς σταγόνας ὑδατῶδες· ξηρὸν δὲ ὄνυξ καὶ γεῶδες· ἡ δὲ χαλβάνη τοῦ ἡδυσμοῦ πρὸς τὴν ἀέρος ἔμφασιν προσετέθη, τὸ γὰρ εὐῶδες ἐν ἀέρι· τῷ δὲ λιβα-

1. Pap. του παράπαν. — 5. ἄρχεται δ'αὖ. — 6. διόπερ οὐκ ἀριθμόν. — 7. Om. σοφία δὲ ἐστὶν τῆς (ψ.). — 8. λόγος θεῖος ἐξ ἴσ. — 9. οὐκ ἐπλ. ᾧ τὸ πολ., καὶ ᾧ τὸ ὀλίγον, οὐκ ἐλαττόνησεν. — 10. ἐχρήσαντο θαυμαστῷ. — 12. ὃ γὰρ ἐπέβ. ἑκάστ. τοῦτ' ἀπεκληρώθη προν. ὡς μήτε. — Pour ὑστερῆσαι. — 14. ἀπομαθεῖν. — Pap. τη δ' εὔλ. 15. — Pour πάσχῃ. — 16. κατ' ἀριθ. ψυχῶν ἵν... — 17. τρόπῳ. — 19. La parenthèse κενοὶ γὰρ επιστήμης ἔσονται (voir plus loin) est placée après πλεονάζειν. (Pap. πλεοναζειν). — Pap. μετε. — 20. μήτε μὴν τοὺς ἐλ. — αὐτῶν τὸ μέγ. — 23. παγκάλως. — 24. διαφ. ἐξαίρετον ἐξαιρέτῳ ἴσον... — 26. ἔστι δ' οἶμαι. — 28. λίβανον. — 29. Pap. στακτην..... σταγωνας. — Pap. τηι δε χαλβανηι το ηδυσμου..... προσετεθες. — 30. λιβάνῳ.

νωτῷ τὸ διαφανὲς, πρὸς φωτὸς ἔνδειξιν · διὸ καὶ τὰ βάρος ἔχοντα τῶν κούφων διεχώρησεν, τὰ μὲν τῷ συμπλεκτικῷ συνδέσμῳ ἑνώσας, τὰ δὲ διαλελυμένως ἐξαναγκὼν, ἔφη γὰρ, λάβε σεαυτῷ ἡδύσματα στακτὴν, ὄνυχα. ταῦτα ἀσύνδετα τῶν βάρος ἐχόντων, ὕδατός τε καὶ γῆς σύμβολα. εἶτα ἀφ' ἑτέρας ἀρχῆς μετὰ συμπλοκῆς, καὶ χαλβάνην ἡδυσμοῦ, καὶ λίβανον διαφανῆ, ταῦτα πάλιν καθ' ἑαυτὰ τῶν κούφων, ἀέρος καὶ π[υρ]ὸς τὰ σημεῖα. τὴν δὲ τούτων ἐμμελῆ σύνθεσίν ; [τε καὶ κρᾶ]σιν, τὸ πρεσβύ[τατον καὶ τελειό]τατον ἔργον ἅγιον, ὡς ἀληθῶς εἶναι συμβέβηκε τὸν κόσμον, ὃν διὰ συ[μβόλου] τοῦ [θυμι]άματος οἴεται δεῖν εὐχαριστεῖν τῷ πεποιηκότι · ἵνα Pag. XXXIII.
λόγῳ μὲν ἡ μυρεψικὴ τέχνη κατασκευασθεῖσα σύνθεσις ἐκθυμιᾶται, ἔργῳ θείᾳ σοφίᾳ δημιουργηθεὶς κόσμος ἅπας ἀναφαίρηται, πρωΐ καὶ δειλινῆς ὁλοκαυτούμενος. βίος γὰρ ἐμπρεπὴς κόσμῳ, τῷ πατρὶ καὶ ποιητῇ συνεχῶς καὶ ἀδιαστάτως εὐχαριστεῖν, μόνον οὐκ ἐκθυμιῶντι καὶ ἀνα- 10
στοιχειοῦντι ἑαυτὸν, πρὸς ἔνδειξιν τοῦ μηδὲν θησαυρίζεσθαι, ἀλλὰ ὅλον ἑαυτὸν ἀνάθημα ἀνατιθέναι τῷ γεγεννηκότι θεῷ. θαυμάζω καὶ τὸν μετὰ σπουδῆς ἀπνευστεὶ δραμόντα συντόνως ἱερὸν λόγον, ἵνα στῇ μέσος τῶν τεθνηκότων καὶ τῶν ζώντων. εὐθὺς γάρ, φησὶ Μωϋσῆς, ἐκόπασεν ἡ θραῦσις. ἀλλ' οὐκ ἔμελλε κοπάσαι καὶ ἐπικουφίσαι τὰ περιθρύπτοντα καὶ συντρίβοντα τὴν ἡμετέραν ψυχὴν, δ[ια]κρίνοντος καὶ διατειχέσαντος τοῦ θ[εοφιλοῦς το]ὺς ὁσίους, 15
οἳ ζῶσιν ἀ[ψευδῶς], ἀπὸ τῶν ἀ[νοσίων, οἳ τεθνή]κασι πρὸ[ς ἀ]λήθειαν, λο[γισμῶν. τῷ γὰρ] Col. b.
ἐγγὺς εἶναι [πολλάκις] νοσούντων, καὶ οἱ [σφόδρα] ὑγιαίνοντες ἐγδε[ξάμεν]οι τὴν ἐκείνων νόσον, ἐμέλλησαν τελευτῆσαι. τοῦτο δὲ ἀμήχανον ἔτι παθεῖν ἣν διαζευχθέντα ὅρῳ μέσῳ παγέντι δυνατωτάτῳ, ὃς τὰς ἐφόδους καὶ ἐπιδρομὰς τοῦ χείρονος ἀπὸ τοῦ βελτείονος ἀπώσει. τεθαύμακα δὲ ἔτι μᾶλλον, ἐπειδὰν κατακούων τῶν λογίων ἀναδιδάσκομαι, ὃν τρόπον εἰσῆλθεν ἡ νεφέλη 20
μέσηι τῆς τε Αἰγυπτιακῆς καὶ τῆς Ἰσραηλιτεικῆς στρατιᾶς. ὑπὸ γὰρ τοῦ φιλοπαθοῦς καὶ ἀθέου τὸ ἐγκρατὲς καὶ τὸ θεοφιλὲς γένος οὐκ ἔτ' εἴασεν διώκεσθαι, τὸ σκεπαστήριον καὶ σωτήριον τῶν φίλων, ἀμυντήριον δὲ καὶ κολαστήριον τῶν ἐχθρῶν ὅπλον, ἡ νεφέλη. διανοίαις μὲν γὰρ ἀρετώσαις ἠρέμα σοφίαν ἐπιψακάζει, τὴν ἀπαθῆ φύσει παντὸς κακοῦ · λυπρ[αῖς] δὲ καὶ ἀγόνοις ἐπιστήμης ἀθρόας κατανίφει τιμωρίας, κατακλυσμ[ῶν] φθορὰν οἰκτίστην ἐπι[φέ]ρουσα. τῷ 25
[δὲ ἀρ]χανγέ[λῳ] καὶ πρε[σβυτάτῳ λόγῳ δωρεὰν ἔδωκεν] ἐξαίρετον ὁ τὰ ὅλα [γεννήσας] πατὴρ, Pag. XXXIV.
ἵνα μεθόριο[ς στὰς τὸ] γενόμενον διακρίν[ῃ τοῦ] πεποιηκότος. ὁ δ' αὐ[τὸς ἱκέ]της μὲν ἐστι τοῦ θν[ητοῦ] κηραίνοντος αἰεὶ πρὸς τὸ ἄφθαρτον, πρεσβυτὴς δὲ τοῦ ἡγεμόνος πρὸς τὸ ὑπήκοον. ἀγάλλεται δὲ ἐπὶ τῇ δωρεᾷ, καὶ σεμνυνόμενος αὐτὴν ἐκδιηγεῖται φάσκων, κἀγὼ ἱστήκειν ἀνὰ μέσον κυρίου καὶ ὑ[μῶν], οὔ[τε ἀγέννητος] ὡς ὁ θεὸς [ὢν, οὔ]τε γεν[νητὸς] ὡς ὑμεῖς, ἀλλὰ ; 30
μέσος τῶν ἄκρων, ἀμφοτέροις ὁμηρεύων · παρὰ μὲν τῷ φυτεύσαντι, πρὸς πίστιν τοῦ μὴ σύμπαν ἀφηνιάσαι ποτὲ καὶ ἀποστῆναι τὸ γεγονὸς, ἀκοσμίαν ἀντὶ κόσμου ἑλόμενον · παρὰ δὲ τῷ

1. Pour διεχώρισε. — 2. ἔφησε λάβε. — 7. Pap. ευχαρισταν. — 8. ἔργῳ δὲ ὁ θ. — 12. Pap. γεγεινηκοτι. — 14. περ. καὶ καταγνύντα καὶ συντρ. τὴν ἡμετ. ψυχὴν μὴ διατειχισαντος... — 16. λογισμοῦ. — 18. ἀμήχ. ἣν ἔτι... — Pap. διαζευχθεντας. — 19. τοῦ χείρονος (Pap. χειρος) μέρους..... ἀνασώσει. — 20. τῶν ἁγίων λογ. ἀναδιδράσκωμαι. — Om. ἡ. — 21. Om. τε. — 23. Turn. ὅπλων. — 24. Pap. ημερα. — ἐπιψεκάζει. — Om. φυσει. — 25. Pap. επιφερους. — 26. δωρεὰν ἐξαίρ. ἔδωκεν. — 28. πρεσβευτής. — 29. Pour εἱστήκειν. — 32 ἀφανίσαι.... τὸ γένος ἀκοσμ.

φύντι, πρὸς εὐελπιστίαν τοῦ μήποτε τὸν ἵλεων θεὸν περιϊδεῖν τὸ ἴδιον ἔργον. ἐγὼ γὰρ ἐπι-
κηρυκεύομαι τὰ εἰρηναῖα γενέσει παρὰ τοῦ καθαιρεῖν πολέμους ἐγνωκότος, εἰρηνοφύλακος αἰεὶ
θεοῦ. διδάξας οὖν ἡμᾶς περὶ τῆς εἰς ἴσα τομῆς ὁ ἱερὸς λόγος, καὶ πρὸς τὴν τῶν ἐναντίων
ἐπιστήμην ἄγει, φάσκων ὅτι τὰ τ[μή]ματα ἔθ[ηκεν] ἀντιπ[ρόσωπα ἀλλήλοις]. τῷ γὰρ [ὄντι
Col. b. 5 πάνθ' ὅσα ἐν κό]σμῳ σ]χεδὸν ἐναντία εἶναι πέφυκε]ν· ἀρκτέον δὲ ἀπὸ [τῶν πρώτ]ων. θερμὸν
ἐναντίον ψυχρῷ, καὶ ξηρὸν ὑγρῷ, καὶ κοῦφον βαρεῖ, καὶ σκότος φωτί, καὶ νὺξ ἡμέρᾳ. καὶ ἐν
οὐρανῷ μὲν ἡ ἀπλανὴς τῇ πεπλανημένῃ φορᾷ· κατὰ δὲ τὸν ἀέρα, αἰθρία νεφώσει, νηνεμία
πνεύμασι, θέρει χειμ[ὼν, ἔαρ]ι μετόπωρον· τὸ μὲν [γὰρ ἀν]θεῖ, [τὸ] δὲ φθίνει. τὰ [δ' ἔγγεια]
πάλιν· ὕδατος τὸ γλυκὺ τῷ πικρῷ, καὶ γῆς ἡ στείρα τῇ γονίμῳ. καὶ τἄλλα δὲ ἐναντία,
10 προῦπτα σώματα ἀσώματα, ἔμψυχα ἄψυχα, λογικὰ ἄλογα, θνητὰ ἀθάνατα, αἰσθητὰ νοητὰ, κα[τα-
λημπ]τὰ ἀκατάληπτα, στοιχεῖα ἀποτελέσματα, ἀρχὴ τελευτὴ, γένεσις φθορὰ, ζωὴ θάνατος, νόσος
ὑγεία, λευκὸν μέλαν, δεξιὰ εὐώνυμα, δικαιοσύνη ἀδικία, φρόνησις ἀφροσύνη, ἀνδρεία δειλία,
σωφροσύνη ἀκολασία, ἀρετὴ κακία, καὶ τὰ τῆς ἑτέρας πάν[τα] εἴδη τοῖς τῆς ἑτέρας εἴδε[σι]
πᾶσιν. πάλιν γραμματικὴ [ἀγρ]αμματία, μουσικὴ ἀμ[ουσί]α, παι[δεία] ἀπαιδευσία, [συνόλ]ως
15 τ[έχνη] ἀτεχν[ία]. κα[ὶ τὰ ἐν ταῖς τέχναις], φων[ήντα στοι]χεῖα καὶ ἄφω[να, ὀξεῖς καὶ βα]ρεῖς
Pag. XXXV. φθόγγοι, εὐ[θεῖαι καὶ περι]φερεῖς γραμμαί. καὶ ἐν [ζώοις καὶ] φυτοῖς, ἄγονα γό[νιμα, πο]λύ-
γονα ὀλιγοτόκα, ὠοτόκα ζωοτόκα, μαλάκεια ὀστρακόδερμα, ἄγρια ἥμερα, μονωτικὰ ἀγε-
λαῖα. καὶ πάλιν, πενία πλοῦτος, δόξα ἀδοξία, δυσγένεια εὐγένεια, ἔνδεια πε[ριουσ]ία, πολέμος
εἰρήνη, νόμ[ος ἀν]ομία, εὐφυεία ἀφυεία, [ἀπον]ία πόνος, νεό[της] γῆρας, ἀδυναμία δύναμις, ἀσθέ-
20 νεια ῥώμη. καὶ τί δ' εἰτὰ καθ' ἕκαστα ἀναλέγεσθαι, ἀπερίγραφα καὶ ἀπέρατ' ὄντα τῷ πλήθει;
παγκάλως οὖν τῶν τῆς φύσεως ἑρμηνεὺς πραγμάτων, τῆς ἀργείας καὶ ἀμελετησίας ἡμῶν
λαμβάνων οἶκτον, ἕκαστον ἀφονῶς ἀναδιδάσκει, καθ' ἃ καὶ νῦν, τὴν ἀντιπρόσωπον ἑκάστων θέσιν
οὐχ ὁλοκλήρων, ἀλλὰ τμημάτων ὑπαρχόν[των]· ἓν γὰρ τὸ ἐξ ἀμφοῖν τῶν [ἐ]ναντίων, οὗ τμη-
θέντο[ς γν]ώριμα τὰ [ἐ]ναντία. [οὐ] τοῦτ' ἔστιν, ὅ [φα]σιν Ἕλ[ληνε]ς, τὸν μέγαν [καὶ] ἀοί[δι-
25 μο]ν παρ' αὐτοῖς Ἡ[ράκλειτον, κεφάλαι]ον τῆς [αὐτοῦ προστησάμενον φιλοσοφίας, αὐχεῖν ὡς
Col. b. ἐφ' εὑρέσει καινῇ; παλαιὸν] γὰρ [εὕρεμα Μωϋ]σέως ἐστὶν, [τὸ ἐκ] τούτου αὐτοῦ τὰ ἐναντία
τμημάτων λόγον ἔχοντα ἀποτελεῖσθαι καθάπερ ἐναργῶς ἐδείχθη. ταῦτα μὲν οὖν καὶ ἐν ἑτέ-
ροις ἀκριβώσομεν. ἄξιον δὲ ἐκεῖνο μὴ ἡσυχασθῆναι. τὰ γὰρ λεγόμενα διχοτομήματα, τριῶν
ζώων δίχα αἱρεθέντων, ἓξ ἐγένετο, ὥσθ' ἑβδομον τὸν τομέ]α εἶναι λόγον, διαστέλλ[ον]τα τὰς
30 τριάδας, μέσον αὐτὸν ἱδρύμενον. τὸ παραπλήσιόν μοι δοκεῖ σαφέστατα μεμηνῦσθαι καὶ ἐπὶ
τῆς ἱερᾶς λυχνίας· δεδημιούργηται γὰρ ἓξ καλαμίσκους ἔχουσα τρεῖς ἑκατέρωθεν. ἑβδόμη δὲ

1. Pap. ιλεω. — 2. ἐπικηρυκεύσομαι. — 3. Pap. om. εἰς. — 7. Pap. φορᾶι. — νέφεσι. — 8. Pap. τω. — 10. Pap. πτουπτα. — 12. Pap. δεξιαν ευωνυμαν à cause de l'assonance de μελαν. Cf. à la fin du VIIIe folio une faute semblable, un nomin. αι ερμηνειαι au milieu d'une série à l'accus. — 13. ἑτέρ. εἴδ. πάντα. — 16. πολυτόκα. — 17. μαλακά. — 19. ἀφ. εὐφυία. — Pap. γερας. — 20. καὶ τί δεῖ τὰ καθ' ἕκαστον. — ἀπέραντα. Pap. απορατοντα. — 21. ὁ τῶν τ. φύσ. ερμηνευτὴς γραμμάτων. — 22. ἀφανῶς. — 26. ἐκ τοῦ αὐτοῦ. — 27. καθάπερ οὖν παραδείχθη, om. ἐναργῶς. — 28. καὶ ἐκεῖνο. — παρησυχασθῆναι. — 29. ζώων διαιρεθέντων. — 30. ἱδρυσάμενον. — Pap. παραπλησον.

αὕτη μέση, διαιροῦσα καὶ διακρίνουσα τὰς τριάδας. τορευτὴ γάρ ἐστιν, τεχνικὸν καὶ δόκιμον θεῖον ἔργον, ἐξ ἑνὸς χρυσίου καθαροῦ. τὸ γὰρ ἓν καὶ μόνον καὶ καθαρὸν ὄντως, ἑβδομάδα τὴν ἀμήτορα γεγέννηκεν ἐξ ἑαυτοῦ [μό]νου, μὴ προσχρ[ησ]άμενον ὕλῃ τὸ παράπ[αν. χ]ρυσὸν [δὲ οἱ ἐγκωμιάζο]ντες, [πολλὰ μὲν καὶ ἄλλα] λέγουσι [τῶν εἰς ἔπαινον], δύο δὲ τὰ ἀνωτά- Pag. XXXVI.
τωι · ἕ[ν μὲν] ὅτι ἰὸν οὐ παραδέχετ[αι · ἕτε]ρον δὲ, ὅτι εἰς ὑμένας λεπτοτάτους ἀῤῥαγὴς διαμένων ἐλαύνεταί τε καὶ χεῖτ[αι. σ]ύμβολον εἰκότως μείζονος φύσεως γέγονε, ἣ ταθεῖσα καὶ κεχυμένηι καὶ φθάσασα πάντη, πλήρης ὅλη δι' ὅλων ἐστὶν, εὐαρμόστως καὶ τὰ ἄλλα συνυφήνασα. περὶ τῆς προειρημένης λυχνίας ὁ τεχνείτης διαλεγόμενος πάλιν φησὶν, ἐκ τῶν καλαμίσκων εἰσὶν οἱ βλαστοὶ ἐξέχοντες τρεῖς ἑκατέρωθεν, ἐξισούμενοι ἀλλήλοις, καὶ τὰ λαμπάδεια αὐτῶν ἅ ἐστιν ἐπὶ τῶν ἄκρων καρυωτὰ ἐξ αὐτῶν, καὶ τὰ [ἀ]νθέμια ἐν αὐτοῖς, ἵν' ὦσιν ἐπ' αὐτῶν οἱ λύχνοι καὶ τὸ ἀνθέμιον τὸ ἕβδομον ἐπ' ἄνω τοῦ λαμπαδείου ἐπὶ τῆς κορυφῆς ἄνωθεν, στερεὸν, ὅλον κρυσοῦν, καὶ ζ λύχνους ἐπ' αὐτοῖς χρυσοῦς. ὥστε διὰ πολλῶν ᾠήθη κατασκευάζεσθαι, ὅτι ἑξὰς εἰς δύο τριάδας [ὑπὸ] μέσου [τοῦ ἑβδ]όμου λό[γου διῄρηται · καθ]άπερ ἔχει [νυνί. πᾶσα γὰρ ἡ λυχνία σὺν τοῖς ὁλοσχερεστάτοις μέρεσιν αὐτῆς, ἃ ἕξ ἐστιν, Col. b.
ἐπάγη · λ]αμ[παδεί]ων ἑπτὰ, [ἀ]νθεμείων [ἑπτὰ, λύχ]νων ἑπτά. διαιροῦν[ται δὲ οἱ μὲν ἓξ [λ]ύχ[ν]οι τῷ ἑβδόμῳ, τὰ δὲ ἀνθέμεια ὁμοίως τῷ $\overline{\theta\omega}$, καὶ τὰ λαμπάδεια τὸν αὐτὸν τρόπον ὑπὸ τοῦ [ἑ]βδόμου καὶ μέσου · οἱ δὲ ἓξ [κ]αλαμίσκοι, καὶ οἱ ἐκπεφυκότες ἴσοι βλαστοὶ, [ὑπ' αὐτοῦ] τοῦ [στε]λέχους τῆς ἑ[βδόμη]ς. πολὺν δ' ὄντα τὸ[ν περὶ ἑκάσ]τοῦ λόγον, ὑπερθε[τέον εἰς αὖθις]. τοσοῦτον δὲ αὐτὸ [μόνον ὑπομ]νηστέον, [ὅτι τῆς κατὰ] τὸν οὐρανὸν τῶν ἑπτὰ πλαν]ήτων χορείας [μίμη]μά ἐστιν ἱερὰ λυχνία, καὶ οἱ ἐπ' αὐτῆς ἑπτὰ λύχνοι. πῶς; ἐρήσεταί τις ἴσως. ὅτι, φήσομ[εν], ὅνπερ τρόπον οἱ λύχνοι, οὕτως καὶ τῶν πλανήτων ἕκαστος φωσφορεῖ. λαμπρότατοι γὰρ ὄντες αὐγοειδεστάτας ἄχρι γῆς ἀποστέλλουσιν ἀκτῖνας. διαφερόντως δ' ὁ μέσος τῶν ἑπτὰ, ἥλιος. μέσον δ' αὐτὸν, οὐ μόνον ἐπεὶ μέσην ἐπέχει χώραν, ἠξίωσάν τινες, καλῶ, ἀλλ' ὅτι καὶ θε[ρ]α- Pag. XXXVII.
πεύεσ[θαι], καὶ δο[ρυ]φο[ρεῖσθαι πρὸς ὑπασπιζόντων ἑκατέρωθεν, ἀξιώματος ἕνεκα καὶ μεγέθους καὶ ὠφελειῶν, ἃς τοῖς ἐπιγείοις ἅπασιν [πα]ρέ[χει], δίκαιος ἄλλως ἐστίν. τὴν δὲ τῶν π[λα]νήτων τάξιν ἄνθρωποι παγίως μὴ κατειληφότης, (τί δ' ἄλλο τῶν κατὰ τὸν οὐρανὸν ἴσχυσαν κατανοῆσαι βεβαίως); εἰκοτολέγουσιν. ἄριστα δ' ἐμοὶ στοχάζεσθαι δοκο[ῦσιν, οἱ] τὴν μέσην ἀπονενεμηκότες ἡλίῳ τάξιν, τρεῖς οἱ μετ' αὐτὸν καὶ ὑπὲρ αὐτὸν φαίνονται, φαέθοντα, πυρόεντα, εἶθ' ἥλιον · μετ' αὐτὸν [δὲ] στίλβοντα, φωσφόρον, [τὴν] ἀέρος γείτονα σελήν[ην. ἐπί]γειον οὖν βουληθεὶς ἀρχέτυπον τῆς κατὰ τὸν οὐρανὸν σφαίρας ἐπταφεγγοῦς μείμημα παρ'

1. διακρ. καὶ διαιρ. — 3. καὶ ἐξ αὐτ. μόνου. — 6. σύμβ. οὖν εἰκότ. γέγ. μείζ. — 7. Pap. παντης et ευαρμωστως. — 8. εἰρημένης. — φησὶν ὅτι ἐκ. — 11. Pap. αναθεμια, inf. αναθεμειων. — ἐπ' ἄκρου. — Om. ἐπὶ τῆς κορυφῆς ἄνωθεν. — 12. ἑπτά. — Pap. ηδη. — 15. Pap. αναθεμειων, inf. αναθεμεια. — 16. *Sic*. Pap. Est-ce une abréviation pour μέσῳ que portent les autres manuscrits? La première lettre est douteuse : faudrait-il lire $\overline{\mu\omega}$? — 19. κατ' οὐρανόν. — πορείας. — 20. οἱ ἑπτὰ λύχν. οἱ ἐπ' αὐτῆς. — Om. ἴσως. — 21. ὃν τρόπον. — λαμπρότεροι. — 23. οὐ μόν. ὅτι μέσ. — ὡς ἠξίωσ. — 26. κατ' οὐρανὸν ἴσχ. διανοῆσαι βεβ. εἰκότως λέγουσιν. — 28. τρεῖς μὲν ὑπ' αὐτ. κ. μετ' αὐτ. τοὺς ἴσους εἶναι λέγοντες ὑπὲρ αὐτὸν μὲν Φαίνοντα, Φαέθοντα. — 31. Pap. αρχετυπου. — κατ' οὐρανόν.

ἡμεῖν ὁ τεχνείτης γενέσθαι, πάγκαλον προσέταξεν, τὴν λυχνίαν δημιουργηθῆναι. δέδεικται δὲ
καὶ πρὸς ψυχὴ ἐμφέρεια αὐτῆς · ψυχὴι γὰρ, τριμερὴς μέν ἐστιν, δίχα δὲ ἑκάστων τῶν μερῶν,
ὡς ἐδείχθη, τέμνεται · μοιρῶν δὲ γινομένων ἕξ, ἕβδομος εἰκότως τομεὺς ἦν ἁπάντων, ἱερὸς καὶ
θεῖος λόγος. ἄξιον δὲ μηδ' ἐκεῖνο παρησυχασθῆναι τριῶν ὄντων ἐν τοῖς ἁγίοις σκευῶν λυχ-
Col. b. 5 νίας, τραπέζης, θυμιατηρίου, τὸ μὲν θυμιατήριον εἰς τὴν ὑπὲρ τῶν στοιχείων εὐχαριστείαν
ἀνάγεται, ὡς ἐδείχθη πρότερον. ἐπεὶ καὶ αὐτὸ μοίρας ἔχει τῶν τεττάρων γῆς μὲν τὰ ξύλα,
ὕδατος δὲ τὰ ἐπιθυμιώμενα · πρότερον γὰρ τηκόμενα, εἰς λιβάδας ἀναλύεται · τὸν δὲ ἀτμὸν ἀέρος,
πυρὸς δὲ τὸ ἐξαπ[τ]όμενον. καὶ ἡ σύνθεσις δὲ λιβανωτοῦ καὶ χαλβάνης, ὄνυχός τε καὶ στα-
κτῆς, τῶν [σ]τοιχείων σύμβολον · ἡ δὲ τράπεζα, εἰς τὴν ὑπὲρ τῶν θνητῶν ἀποτελεσμάτων εὐχα-
10 ριστείαν · ἄρτοι γὰρ καὶ σπονδεῖα ἐπιτίθενται αὐτῇ, οἷς ἀνάγκη χρῆσθαι τὰ τῆς τροφῆς δεόμενα.
ἡ δὲ λυχνία, εἰς τὴν ὑπὲρ τ[ῶν] κατὰ τὸν οὐρανὸν ἁπάντων, ἵνα μηδὲν μέρος τοῦ κόσμου
δίκην ἀχαριστίας ὀφείλῃ, ἀλλ' εἴδωμεν ὅτι πάντα τὰ μέρη καθ' ἑαυτὰ εὐχαριστεῖ, τὰ στοιχεῖα,
τὰ ἀποτελέσματα, [οὐ] τὰ ἐπὶ [γῆς] μόνον, ἀλλὰ [καὶ] τὰ ἐν ο[ὐρανῷ. ἄξιον δὲ] σκέψα[σθαι
Pag. XXXVIII. διὰ τί τῆς τραπέζης καὶ τοῦ θυμιατηρίου τὰ μέτρα δηλώσας, τῆς λυχνίας οὐδὲν [ἀνέγραψε];
15 μήποτε δι' ἐκεῖνο, ὅτ[ι τὰ μὲν] στοιχεῖα καὶ τὰ θνητὰ ἀ[ποτελέσ]ματα, ὧν ἡ τράπεζα καὶ
τὸ θυμιατήριον σύμβολα, μεμέτρηνται, περατωθέντα ὑπὸ οὐρανοῦ · ἀεὶ γὰρ τὸ περιέχον τοῦ
περιεχομένου μέτρον. ὁ δ' οὐρανὸς, οὗ σύμβολόν ἐστιν ἡ λυχνία, ἀπειρομεγέθης ἐστίν. περιέ-
χεται γὰρ ὑπ' οὐδενὸς σώματος, ἀλλ' οὐδὲ ὑπὸ κενοῦ κατὰ Μωϋσῆν, οὔτε ἴσομεγέθους αὐτῷ,
οὔτε ἀπείρου, διὰ τὴν ἐν τῇ πυργώσει μυθευομένην τερατολογίαν · ἐστιν δὲ ὅρος αὐτοῦ ὁ
20 θεὸς, ἡνίοχος καὶ κυβερνήτης αὐτοῦ. ὥσπερ οὖν ἀπερίλημπτον τὸ ὄν, οὕτως καὶ τὸ ὁριζόμε-
νον ὑπ' αὐτοῦ, μέτροις τοῖς εἰς τὴν ἡμετέραν ἐπίνοιαν ἥκουσιν οὐ μεμέτρηται · καὶ τάχα ἐπὶ
κυκλοτερὴς ὢν καὶ ἄκρως εἰς σφαῖραν ἀποτετορνευμένος, μήκους καὶ πλάτους οὐ [μ]ετέχει. εἰπ[ὼν]
οὖν τ[ὰ πρέ]ποντα π[ερὶ τούτ]ων, [ἐπι]λέγει, τὰ δὲ ὄ[ρνεα] οὐ [διεῖλεν, ὄρ]νεα καλ[ῶν τοὺς
Col. b. πτη]νοὺς καὶ πεφυ[κότας μετεωροπολεῖν δύο λόγους · ἕνα μ]ὲν ἀρ[χέτ]υπον ὑπὲρ [ἡ]μᾶς, ἕτερον
25 δὲ μείμημα, τὸν καθ' ἡμᾶς ὑπάρχοντα. καλεῖ δὲ Μωϋσῆς τὸν μὲν ὑπὲρ ἡμᾶς εἰκόνα θεοῦ, τὸν
δὲ καθ' ἡμᾶς, τῆς εἰκόνος ἐκμαγεῖον. ἐποίησεν γὰρ, φησὶν, ὁ θεὸς τὸν ἄνθρωπον, οὐχὶ εἰκόνα θεοῦ,
ἀλλὰ, κατ' εἰκόνα. ὥστε τὸν καθ' ἕκαστον ἡμῶν νοῦν, ὃς δὴ κυρίως καὶ πρὸς ἀλήθειαν ἄνθρωπός
ἐστιν, τρίτον εἶναι τύπον ἀπὸ τοῦ πεποιηκότος · τὸν δὲ μέσον, παράδειγμα μὲν τούτου, ἀπεικόνισμα
δὲ ἐκείνου. φύσει δὲ ἄτμητος ὁ ἡμέτερος γέγονεν νοῦς. τὸ μὲν γὰρ ἄλογον ψυχῆς μέρος ἑξαχῇ
30 διελὼν ὁ δημιουργὸς, ἑπτὰ μοίρας εἰργάζετο, ὅρασιν, ὄσφρησιν, ἀκοὴν, γεῦσιν, ἁφὴν, φωνὴν,

1. πάγκαλον ἔργον προσέτ. — 2. ἡ πρὸς ψ. — Om. μὲν. — Sur l'original διδα est corrigé en διχα. — ἕκαστον. — 3. ὁ ἱερός. — 7 εἰς λιβάδας αὖθις ἀναλ. — 9. εἰς τὴν τῶν ὑπέρ. — 11. κατ' οὐρανόν. — 12, Pap. οφλη. — τὰ κατ' αὐτὸν εὐχαρ. Caet. om. — 16. Pap. συμβ. μεν ειρηται περ. υπερ ουρ. — 18. περιέχ. γάρ, ἀλλ' οὐχ ὑπὸ κεν. κατὰ Μωϋσ. οὔτε ὑπ' οὐδενὸς σώμ. — Pap. ισον μεγεθους. — 19. Pap. πυρωσει. — 20. καὶ ἡν. — Om. αὐτοῦ. — 25. οὐ μετρεῖται. — Pap. καὶ καταχα. — επι pour ἐπεί. — 22. Pap. κυκλοτερης. — ἀποτετορευμένος. — 24. μετεωρ. πεφυκότας δύο λόγ. — 26. οὐκ. — Om. θεοῦ. — 27. Pap. ως. — 30. ἓξ μοίρας εἰργάσατο. — ὅρ. γεῦσ. ἀκοὴν, ὄσφρ. ἁφ. γόν. φων. τὸ δὲ λογ.

γόνιμον · τὸ δὴ λογικόν, ὃ δὴ νοῦς ὠνομάσθη, ἄσχιστον εἴασε, κατὰ τὴν τοῦ παντὸς ὁμοιότητα οὐρανοῦ. καὶ γὰρ ἐν τούτῳ λόγος ἔχει τὴν μὲν ἀνωτάτω καὶ ἁπλανῆ σφαῖραν ἄτμητον φυλαχθῆναι, τὴν δὲ ἐντὸς ἑξαχῇ τμηθεῖσαν, ἑπτὰ κύκλους τῶν λεγομένων πλανήτων ἀποτελέσαι · ὃ γάρ, οἶμαι, ἐν ἀνθρώπου ψυχῇ, τοῦτο οὐ[ρ]ανὸς ἐν κόσμῳ. τὰς οὖν νοερὰς καὶ λογικὰς δύο φύσεις, τήν τε ἐν ἀνθρώπῳ καὶ τὴν ἐν τῷ παντί, συμβέβηκεν [ὁλοκλήρους καὶ] 5 Pag. XXXIX.
ἀδιαιρέτους εἶ[ναι. διὸ λέγεται], τὰ ὄρνεα οὐ διεῖλεν. περισ[τε]ρᾶ μὲν ὁ ἡμέτερ[ο]ς νοῦς, ἐ[πει]δὴ τιθασὸν καὶ σύντροφον ἡμῖν ἐστι τὸ ζῶον, εἰκάζεται, τῷ δὲ τούτον παραδείγματι ἡ τρυγών. ὁ φὰρ θεοῦ λόγος φιλέρημος καὶ μονωτικός, ἐν ὄχλῳ τῷ τῶν γεγονότων καὶ φθαρησομένων οὐχὶ φυρόμενος, ἀλλ' ἄνω φυτᾶν εἰθισμένος ἀεὶ καὶ ἑνὶ ὀπαδὸς εἶναι μόνῳ μεμελετηκώς. ἄτμητοι. μὲν οὖν αἱ δύο φύσεις, ἥτε ἐν ἡμῖν τοῦ λογισμοῦ, καὶ ἡ ὑπὲρ ἡμᾶς τοῦ θείου λόγου · ἄτμητοι δὲ οὖσαι, μυρία ἄλλα τέμνουσιν. ὅ τε γὰρ θεῖος λόγος τὰ ἐν τῇ φύσει διεῖλε, καὶ διένιμε πάντα. ὅτε ἡμέτερος νοῦς, ἃ ἂν παραλάβῃ νοητῶς πράγματά τε καὶ σώματα, εἰς ἀπειράκις ἄπειρα διαιρεῖ μέρη, καὶ τέμνων οὐδέποτε λήγει . τοῦτο δὲ συμβαίνει διὰ τὴν πρὸς τὸν ποιητὴν καὶ πατέρα τῶν ὅλων ἐμφαίρειαν. τὸ γὰρ θεῖον ἀμειγὲς, ἄκρατον ἀμερέστατον ὑπάρχον, ἅπαντι τῷ κόσμῳ γέγονεν αἴτιον μείξεως, κράσεως διερ[έσ]εως πολυ[μεριάς] · ὥστε [εἰκότως καὶ τὰ ὁμοιω- 15 Col. b.
θέντα, νοῦς τε] ὁ ἐν ἡμῖν, καὶ [ὁ ὑπὲρ ἡ[μᾶς, ἀμερεῖς καὶ ἄ[τμητ]οι ὑπάρχοντες, διαιρε[ῖν καὶ] διακρίνειν ἕκαστα τῶν ὄντων ἐῤῥωμένως δυνήσονται. λαλήσας οὖν περὶ τῶν ἀτμήτων καὶ ἀδιαιρέτων, ὀρνέων φησὶν ἑξῆς, κατέβη δὲ ὄρνεα ἐπὶ τὰ σώματα τὰ διχοτομήματα, ὁμωνυμίᾳ μὲν χρησάμενος, τὴν δὲ πραγματικὴν διαμάχην ἐναργέστατα τοῖς ὁρᾶν δυναμένοις διασυνιστὰς. παρὰ φύσιν γάρ ἐστιν τὸ καταβαίνειν ὄρνεα, τοῦ μετεωροπολεῖν ἕνεκα πτερωθέντα. καθάπερ γὰρ τοῖς χερσαίοις οἰκιότατον χωρίον γῆι, καὶ μάλιστα ἑρπετοῖς, ἃ μηδ' ὑπὲ[ρ] αὐτῆς εἰλυσπώμενα ἀν[έχεται, φωλεοὺς δὲ καὶ καταδύσεις ζητεῖ, τὸν ἄνω χῶρον ἀποδιδράσκοντα, διὰ τ[ὴν] πρὸς τὰ κάτω συγγένει[αν] · τὸν αὐτὸν τρόπον καὶ τοῖς πτηνοῖς ὁ ἀὴρ ἐνδιαίτημα οἰκεῖον, κούφοις διὰ τὴν πτέρωσιν ὁ φύσει κοῦφος. ὅταν οὖν τὰ ἀεροπόρα αἰ[θε]ροβαθεῖν ὀφ[εί]λοντα καταβ[αίνῃ π]ρὸς χέρσον ἀφικνού[μενα, τῷ] κατὰ φύσιν ἀδυν[ατεῖ χρῆσ]θαι βίῳ. τὸ ἐναν[τίον] δὲ 25
Μωϋσῆς [καὶ ὅσα τῶν] ἑρπετῶν ἄν[ω δύναται] πηδᾶν, οὐ μετ[ρίως ἀποδέ]χεται. φησὶ γοῦν, Pag. XL.
[ταῦτα φά]γεται ἀπὸ τῶν ἑρπετῶν τῶν πετεινῶν, ἃ πορεύεται ἐπὶ τεσσάρων, ἃ ἔχει ὀκέλη ἀνωτέρω τῶν ποδῶν, ὥστε πηδᾶν ἐν αὐτοῖς ἀπὸ τῆς γῆς. ταῦτα δ' ἐστὶν σύμβολα ψυχῶν, ὅσαι τρόπον ἑρπετῶν προσερῤῥιζωμέναι τῷ γηΐνῳ σώματι, καθαρθεῖσαι, μετεωροπολεῖν ἰσχύουσιν, οὐρανὸν ἀντικαταλλαξάμεναι γῆς, καὶ φθορᾶς ἀθανασίαν. πάσης οὖν βαρυδαιμονίας ἀναπεπλῆσθαι νομι- 35
σταίον ἐκείνας, αἵτινες ἐν ἀέρι καὶ αἰθέρι τῷ καθαρωτάτῳ τραφεῖσαι, μετανέστησαν, τὸν θείων ἀγαθῶν κόρον οὐ δυνηθεῖ[σ]αι φέρειν, ἐπὶ τὸ θνητῶν καὶ κακῶν χωρίον γῆν. ἐπιφυτῶσιν δ' ἔννοιαι μυρίαι περὶ μυρίων πραγμάτων ὅσων, αἱ μὲν αἰκούσιοι, αἱ δὲ κατ' ἄγνοιαν οὐδὲν

2. τὴν μὲν ἐξωτάτην καὶ ἀπλ. — 3. Pap. τον δε οντως εξ. — 4. ἐν ἀνθρώπῳ ψυχή. — 6. τὰ δὲ ὄρν. — 8. Om. τῷ. — γενομένων. — 9. Om. μόνῳ. — 10. Om. ἥ. — 12. νοῦς ἅτ' ἄν. — 13. Pap. δια τον. — 14. ἄκρ. καὶ ἀμερ. — 15. Om. διερέσεως. — 18. δικοτομηθέντα. — 23. πετεινοῖς. — 27. φάγεσθε. — 28. Om. τῆς. — 30. καὶ ἀθ. — Pap. φθοραν. — ἀναπεπληρῶσθαι. — 31. τὸν κόρ. τῶν θείων ἀγαθ. — 32. θνητὸν καὶ κακόν. — 33. αἰκ. pour ἑκ. — αἳ οὐδέν.

διαφέρουσαι πτηνῶν, αἷς τὰ κατιόντα ἐξωμοίωσεν ὄρνε[α. τῶν δὲ] ἐννοιῶν ἡ μὲν ἄνω φορὰ [τὴν]
Col. b. ἀμείνω τάξιν ἔλαχεν, [συνοδοιπορούσης] ἀρε[τῆς τῆς πρὸς τ]ῶν θείων οὐρανί[ω]ν χόρον ἀγού-
σης· τήνδε χείρω ἡ κάτω, κακί[ας ἀ]φηγουμένης καὶ ἀντισπώσης βίᾳ· δηλοῖ δὲ καὶ τὰ ὀνό-
ματα οὐκ ἥκιστα τὴν τῶν τόπων ἐναντιότητα. ἀρετὴι μὲν γὰρ οὐ μόνον παρὰ τὴν αἵρεσιν
5 ὠνομάσθη, αἵρεται γὰρ καὶ μετεωρίζεται διὰ τὸ αἰεὶ τῶν ὀλυμπίων ἐρᾶν, κακία δὲ ἀπὸ τοῦ
κάτω κεχωρηκ[έναι], καὶ καταπίπτ[ειν] τοὺ[ς χρ]ωμένους αὐτῇ βιάζεσθαι. τὰ πολέμια οὖν τῆς
ψυχῆς ἐννοήματα ἐπιπωτώμενα καὶ ἐπιφ[υ]τῶντα, κάτεισι μὲν αὐτά, καταβάλλει δὲ καὶ τὴν διά-
νοιαν, αἰσχρῶς ἐπιφερόμενα σώμασιν, οὐ πράγμασιν αἰσθητοῖς οὐ νοητοῖς, ἀτελέσιν οὐχ ὁλο-
κλήροις, ἐφθαρμένοις οὐχὶ τοῖς ζῶσιν. οὐ γὰρ μόνον σώμασιν, ἀλλὰ καὶ σωμάτων δίχα διαιρεθέντων
10 τμήμασιν ἐπιφοιτᾷ. τὰ δὲ οὕτως διαιρεθέντα ἀμήχανον ἁρμονίαν δέξασθαι καὶ ἕνωσιν, τῶν πνευμα-
Pag. XLI. τικῶν τόνων, οἳ συμφυέστατος δεσμ[ὸς ἦσαν, διακοπέντων. εἰσηγεῖται δὲ γνώμην] ἀληθεστ[ά]την,
[διδάσκων], ὅτι δικαιοσύνη [μὲν καὶ πᾶ]σα ἀρετὴ, ψυχῆς, [ἀδικία δὲ καὶ] πᾶσα κακία σώ[ματος] ἐρῶσιν
καὶ ὅτι τὰ τῷ [ἑτέρῳ φίλα τῷ ἑτέρῳ] πάντως ἐχθρά ἐστιν καθὰ καὶ νῦν. αἰνιττόμενος γὰρ τοὺς
ψυχῆς πολεμίους, ὄρνεα εἰσήγαγεν γλιχόμενα ἐμπλέκεσθαι καὶ ἐμφύεσθαι σώμασιν, καὶ σαρκῶν
15 ἐμφορεῖσθαι, ὧν τὰς ἐφόδους καὶ ἐπιδρομὰς ἐπισχεῖν βουληθεὶς ὁ ἀστεῖος, λέγεται αὐτοῖς ἐ[γκα]θί-
σαι, οἷα [πρόεδ]ρός τις ἢ [πρόβ]ουλος ὤν. ἐπειδὴ γὰρ κ[αὶ τ]ὰ οἰκεῖα ὑπ' ἐμφυλίου στάσεως διστή-
κει, καὶ τὰ ἐχθρὰ στείφη διεφέρετο, βουλὴν ἁπάντων συναγαγὼν ἐσκόπει περὶ τῶν διαφόρων· ἵν' εἰ
δύναιτο, πειθοῖ χρώμενος, καὶ τὸν ξενικὸν πόλεμον καταλύσαι, καὶ τὴν ἐμφύλιον ταραχὴν ἀνελεῖν
τοὺς μὲν γὰρ ὥσπερ νέφος ἐπιῤῥάξαντας, ἀκαταλλάκτως ἔ[χο]ντας, λυσιτελὲς ἦν ἀπο[σκε]δάσαι, τοῖς δὲ
20 ντὴ πα[λα]ιὰν συγγένειαν οἰκειώσασθαι. δυσμενεῖς μὲν οὖν ἄσπονδοι καὶ [ἀ]κατάλλακτοι γράφ[ονται·
Col. b. ψυ]χῆ[ς ἀφρο]σύναι καὶ ἀκολασίαι, [δειλίαι τε καὶ ἀδικίαι, καὶ ὅσαι ἄλλαι] ἐκπλεοναζού[σης
ὁρ]μῆς εἰώθασι φύεσθαι ἄ[λογ]οι ἐπιθυμίαι, σκιρ[τῶσαι κα]ὶ ἀπαυχενίζουσαι, [καὶ τὸν εὐ]θὺν δρό-
μον τῆς διανοίας ἐπέχουσαι· πολλάκις δὲ καὶ τὸ σύμπαν αὐτῆς σχῆμα σπαράττουσαί τε καὶ
καταβάλλουσαι. τὰ δὲ τῶν ἐν σπόνδων εἶναι δυναμένων προσκρούσματα τοιαῦτά ἐστιν, ὁποῖας
25 εἶναι συμβέβηκε τὰς σοφιστῶν δογματικὰς ἔριδας. οἱ μὲν γὰρ πρὸς ἓν ἀπονεύουσι τέλος, θεω-
ρίαν τῶν τῆς φύσεως πραγμάτων, λέγοιτ' ἂν εἶναι φίλοι· οἱ δ' οὐχ ὁμογνωμονοῦσι ἐν ταῖς κατὰ
μέρος ζητήσεσι. ἐμφυλίῳ στάσει χρῆσθαι. ὥσπερ οἱ ἀγένητον εἶναι λέγοντες τὸ πᾶν, τοῖς γένε-
σιν εἰσηγουμένοις αὐτοῦ· καὶ πάλιν οἱ φθαρήσεσθαι, τοῖς φθαρτὸν μὲν εἶναι φύσει, μηδέπ[ότε]
δὲ φθαρησόμενον, διὸ καὶ πρατεοτέρῳ δεσμῷ, τ[ῇ τοῦ] πεποιηκότος βου[λήσει, συν]έχεσθαι

2. ἀρετ. τῆς πρὸς τὸν οὐρανὸν καὶ θεῖον χῶρον ἀγ. τὴν χείρω δὲ ἡ κάτω. — 3. Pap. χειρω δε την κατω. — 5. ὠνόμ. ἀλλὰ καὶ παρὰ το αἵρεσθαι, αἵρετ. — Pap. εραῖν. — 7. νοηματα επιπετώμενα. — 8. τὴν διάν. σώμ. αἰσχρ. ἐπιφ. πράγμασιν αἰσθητοῖς... Cette version est certainement la bonne. — 9. σωμ. τῶν δίχα. — 10. Pap. δέξασθε. — 14. τῆς ψ. πολέμους. — 15. Pap. εγκατισαι. — 16. Pap. διϊστηκει (pour διειστήκει). Le second ι est pointé et par conséquent biffé. — 17. Om. απαντων. — 18. ἀνέλοι. — 21. ἐπὶ πλεοναζούσης. — 22. Pap. αποχενιζουσαι. — 24. Om. εἶναι. — δυνάμεων. — οἵας εἶναι. — 25. τῶν σοφισ. — ῇ. Turn. εἰ μὲν γ..... ἀποπνέουσι. — 26. λέγοιντ' ἂν εἶν. φιλ. ῇ δ'οὐχ... — Pap. ομογνομονουσι. — 28. Pap. μηδοποτε. — 29. διὰ τὸ κρ. — Pap. κρατεωτερω.

καὶ οἱ μηδὲν εἶναι ὁμο[λογοῦντες ἀλ]λὰ πάντα γίνεσθαι, το[ῖς] [ὑ]πολαμβάνουσι τἀναντ[ία · καὶ
οἱ πάντων χρημάτων] ἄνθρωπον μέτρον [εἶναι διεξιόν]τες, τοῖς [τὰ αἰσθήσεως] καὶ τὰ δια- Pag. XLII.
ν[οίας κριτήρια συν]χέουσι · καὶ συνό[λως οἱ πάντα] ἀκατάληπτα [εἰσηγούμε]νοι, τοῖς γνωρί-
ζεσθ[αι πάμ]πολλα φάσκουσιν. καὶ ἥ[λιος] μέντοι καὶ σελήνη, κ[αὶ ὁ σύμ]πτας οὐρανός, γῆ τε
καὶ ἀήρ, καὶ ὕδωρ, τά τε ἐξ αὐτῶν σχεδὸν πάντα, τοῖς σκεπτικοῖς ἔριδας καὶ φιλονικίας παρε- 5
σχήκασι, οὐσίας καὶ ποιότητας, μεταβολάς τε καὶ τροπὰς, καὶ γενέσεις ἔτι δὲ φθορὰς αὐτῶν
ἀναζητοῦσιν · μεγέθους τε πέρι καὶ κινήσεως τῶν κατὰ τὸν οὐρανὸν, οὐ πάρερ[γον] ποιούμενοι
τὴν ἔραυναν, ἑτεροδοξοῦσιν οὐ συμφερόμενοι, μέχρι ἂν ὁ μαιευτικὸς νόμος καὶ δικαστικὸς ἀνὴρ
συγκαθίσας, θεάσηται τὰ τῆς ἑκάστου γεννήματα ψυχῆς, καὶ τὰ μὲν οὐκ ἄξια τροφῆς ἀπορ-
ρείψῃ, τὰ δ' ἐπιτήδεια διασώσῃ καὶ προνοία[ς τῆς ἁρ]μοτούσης ἀξιώ[σῃ. τὰ δὲ] κατὰ τὴν 10
φιλοσο[φίαν με]στὰ διαφωνίας γέγον[ε, τὸν] πιθανὸν καὶ στ[οχαστικὸν νοῦν] τῆς ἀληθείας [ἀπο-
διδρασ]κούσης · [τὸ γὰρ δυσεύρετ]ον καὶ δυσθή[ρατον] αὐτῆς, τὰς λογικὰς, ὥς οἶ[μαι], στάσεις Col. b.
ἐγέννησε. περ[ὶ δὲ] ἡλίου φησὶ δυσμὰς ἔκστασις ἐπέστησεν τῷ Ἀβραὰμ, καὶ ἰδοὺ φόβος σκο-
τεινὸς [μ]έγας ἐπιπίπτει αὐτῷ. ἔκστασις ἡ μέν ἐστιν λύττα μανιώδης παράνοιαν ἐ[μ]ποιοῦσα,
κατὰ γῆρας, ἢ μελαγχολίαν, ἤ τινα [ὁμοιό]τροπον ἄλλην αἰτ[ίαν · ἡ δὲ] σφοδρὰ κατάπληξις ἐπὶ 15
τοῖς ἐξαπιναίως καὶ ἀπροσδοκήτως συμβαίνει[ν εἰ]ώθασιν · ἡ δὲ ἠρεμία δι[ανοίας], εἰ δὲ πέφυ-
κέν π[οτε ἡσ[υχάζ[ειν · ἡ δὲ πασῶν] ἀ[ρίσ]τη, ἔνθεος κατοκοχή τε καὶ μανία, ᾗ τὸ προφητικὸν
γένος χρῆται. τῆς μὲν οὖν πρώτης ἐν ταῖς ἐπινομίδι γραφείσαις ἀραῖς δια[μέ]μνηται. παρα-
πληξί[αν] γάρ, φησίν, καὶ ἀορασίαν [καὶ] ἔκστασιν διανοίας κ[ατα]λήμψεσθαι τοὺς ἀσεβ[οῦν]τας,
ὡς μηδὲ[ν διο]ίσιν τυφλῶν ἐν μ[εσημβρίᾳ, κα]θάπερ ἐν [βαθεῖ σκότῳ ψη]λαφώντω[ν. τῆς δὲ 20
δευτέ]ρας πολ[λαχοῦ. ἐξέστη γάρ, φησίν, Ἰσαὰκ ἔκστασιν μεγάλην, καὶ εἶπεν], τίς οὖν ὁ θηρεύ- Pag. XLIII.
σ[ας μοι θήραν, καὶ] ἐνεγκών μοι, καὶ ἔφαγο[ν ἀ]πὸ πάντων πρὸ τοῦ σ[ε ἐλθεῖν], καὶ εὐλό-
γησα αὐτὸν καὶ εὐλογημένος ἔστω. καὶ ἐπὶ τοῦ Ἰακὼβ ἀπιστοῦντος τοῖς λέγουσιν, ὅτι ζῇ Ἰωσὴφ
καὶ ἄρχει πάσης Αἰγύπτου. ἐξέστη γάρ, φησίν, διανοίᾳ, οὐ γὰρ ἐπί[σ]τευσεν αὐτοῖς. καὶ ἐν ἐξόδῳ...
κατὰ τὴν ἐκκλησίαν, τὸ γὰρ [ὄρος, φ]ησί, τὸ Σινᾶ ἐκαπνί[ζετο] ὅλον, διὰ τὸ καταβεβηκέναι τὸν θεὸν 25
ἐπ' αὐτοῦ ἐν πυρί · ἀνέβαινεν ὁ καπνὸς ὡσεὶ ἀτμεὶς καμείνου, καὶ ἐξέστη πᾶς ὁ λ[αὸς] σφόδρα. καὶ
[ἐν τ]ῷ λευϊτικῷ, κατὰ τὴ]ν τῶν ἱερέων τ]ελείωσιν, ἡ[μέ]ρᾳ τῇ ὀγδόῃ ὁπότε ἐξῆ[λθ]εν πῦρ ἀπ'
οὐρανοῦ, κατέφαγεν τά ἐπὶ τοῦ, θυσιαστηρίου, τὰ τε ὁλοκαυτώματα καὶ τὰ στέατα. λέγεται γάρ εὐθὺς,
καὶ εἶδεν πᾶς ὁ λαὸς, καὶ ἐξέστη, καὶ ἔπεσαν ἐπὶ πρόσωπον. ἡ γὰρ τοιαύτη ἔκστασις πτ[όησ]ιν καὶ
δεινὴν [καὶ κατάπ]ληξιν ἐμποι[εῖ]. ἀλλ' [οὐκ ἄξιον] θα[υμάσαι καὶ] ἐπὶ τ[οῦ Ἠσαῦ, ὅτι εἰδὼς 30
κυ]νη[γεῖν ἀεὶ θηρεύεται καὶ] πτ[ερνίζεται. τὴν τέχνην] ἐπὶ βλάβ[ῃ κτησάμενος] οὐκ ὠφελία,

3. συνέχουσι. — Pap. εισηγουμενοις. — 5. ἐπ' αὐτῶν om. σχεδόν. — 6. τε αὖ καί. — ἔτι τε. — 7. κατ' οὐρανόν. — 8. μέχρις ἂν μαιευτικός τις ἀνὴρ καὶ δικ. συγκ. — 10. Om. τήν. — 12. Pap. δυστηρατον. — Om. τὰς λογικάς. — 13. Om. φησί. — Pap. δυσμαις. — ἔπεσεν ἐπὶ Ἀβρ. — 16. Pap.. απροδοκητος. — εἰωθόσιν. — ἐπειδή περ. — 17. κατοχωτική. — Om. καὶ. — Pour διοίσειν. — 23. ἔσται. — 24. πάσ. γῆς Αἰγ. — τῇ διανοίᾳ. — Pap. εξατω..... Cf. fin du 1er fo εξαρω? — 25. ἐκαπν. πᾶν αὐτὸ διά... — 26. ἐπ' αὐτὸ ἐν π. καὶ ἀνέβ. — 29. ἔπεσεν. — ἡ γάρ τοι ἔκπληξις. — 30. Om. καὶ δεινὴν.

Col. b. [θηρεύειν δὲ οὐδέποτε ἐσπο]ύδασε; καὶ ἐ[πὶ τοῦ Ἰ]ακὼβ ὅτι θηρεύει μὴ [μαθὼν, ἀλ]λὰ φύσει κεινούμενον πάθος, καὶ φέρειται [δοκι]μαστῇ, εἰ δόκιμόν ἐστι, διαγνώσεται, διὸ, ἀπὸ πάντων φάγεται; πάντα γὰρ τὰ τῆς ἀσκήσεως ἐδώδιμα καθέστηκεν, ἡ ζήτησις, ἡ σκέψις ἡ ἀνάγνωσις, ἡ ἀκρόασις, ἡ προσοχὴ, ἡ ἐγκράτεια, ἐξαδιαφόρησις τῶν ἀδιαφόρων. ἀπὸ πάντων δὲ τὰς ἀπαρχὰς
5 δήπουθεν ἔφαγον, ἀλλ' οὐ πάντα· ἐδεῖ γὰρ ὑπολίπεσθαι καὶ τῷ ἀσκητῇ τροφὰς οἰκείας, [ὡς ἄθλα. πρ]ὸ τοῦ σε ἐλθεῖν, φυσικῶς. ἐὰν γὰρ ἐλθῇ τὸ πάθος εἰς τὴν ψυχὴν, οὐκ ἀπολαύσο[με]ν ἐγκρατείας· ἐλέγχει δὲ καὶ τὸν φαῦλον, ὡς βραδὺν καὶ ὀκνηρὸν, καὶ μελλητὴν πρὸς τὰ παιδείας ἔργα, ἀλλ' οὐ πρὸς τὰ ἀκολασίας. ἐργο[δι]ώκτας οὖν Αἴγυπτος ἔχ[ει] πρὸς τὴν τῶν παθῶν ἐπισπεύδοντας ἀπόλαυσι[ν· Μωϋσῆς] δὲ ἔμπαλιν μετὰ [σπουδῆ]ς παραγ[γέλλει τὸ] πάσχα ἐσθίειν,
10 τὴν ἀπὸ τούτων διάβασιν εὐωχε[ῖσθαι. καὶ] ὁ Ἰού[δα φησίν, εἰ μὴ γὰρ ἐβρα[δύ]ναμεν, ἤδη
Pag. XLIV. ἂν ὑπεστρέ]ψαμ[εν, καὶ] οὔ φησιν, κ[ατέβημεν εἰς] Αἴγυπτον, ἀλλ' [ἐκεῖθεν ἐ]πανεσώθημεν. [εἰκότως] καὶ Ἰακὼβ τεθαύμακεν, [εἰ] ἔτι ὁ ἐν σώματι νοῦς Ἰωσὴφ, ζῇ πρὸς ἀρετὴν, καὶ ἄρχει τοῦ σώματος, ἀλλ' οὐκ ἄρχεται πρὸς αὐτοῦ. καὶ τἄλλα ἐπιὼν ἄν τις ὑποδείγματα, ἀληθὲς ἰχνεύειν δυνηθείη. πρόκειται δ' οὐ περὶ τούτων νῦν ἀκριβολογῖσθαι, διὸ ἐπὶ τὰ ἑξῆς τρε-
15 πτέον. τῆς δὲ τρίτης ἐν οἷς τὰ περὶ τὴν τῆς γυναικὸς γένεσιν φ[ιλοσο]φεῖ. ἐπέβαλον γὰρ ὁ θεός, [φησίν], ἔκστασιν ἐπὶ τὸ[ν Ἀδὰμ, καὶ ὕ]πνωσεν· ἔκστασιν [τὴν ἡσυ]χίαν κ[αὶ] ἠρεμίαν [τοῦ νοῦ] παραλαμβάνων. ὕπνος γάρ νοῦ, οὐσία ἐστὶν αἰσθ[ήσεως, καὶ γὰρ ἐγρήγορσις διανοίας αἰσθήσεως ἀπραξία. τῆς δὲ τετάρτης, ὃ νῦν [σκ]οποῦμεν. περὶ δὲ ἡλίου δυ[σμ]ὰς ἔκστασις ἐπέπεσε]ν ἐπὶ τὸν Ἀβ[ρ]αὰμ, ἐνθουσιῶν[τος καὶ θεο]φορήτου τὸ π[άθος. ἀλλ' οὐ]χὶ ταὐτὸ μόνον σ[υνίστησιν
20 αὐτὸν προφήτην, ἀλλὰ καὶ γράμμα ῥητὸν ἐστηλιτευμένον ἱεραῖς βίβλοις. ἡνίκα τ]ις ἐπεχείρησε τὴν ἐκ φύσεω[ς ἀρχούσαν ἀρ[ετὴν], Σάῤῥαν αὐτοῦ διοικίζειν, [ὡς] οὐκ ἴδιον σοφοῦ καὶ μόνου κτῆμα, ἀλλὰ παντὸς τοῦ φρόνησιν ἐπιμορφάζοντος. ἀπόδος γὰρ, φησὶν, τὴν γυναῖκα τῷ ἀνθρώπῳ, ὅτι προφήτης ἐστὶν, καὶ προσεύξεται περὶ σοῦ, καὶ ζήσεις [παντὶ] δὲ ἀστείῳ προφη[τείαν ὁ] ἱερὸς λόγος μαρτυρεῖ· [προ]φή[της γὰρ] ἴδιον [μὲν] οὐδὲν ἀποφ[θέγγ]εται, ἀλλότρια δὲ πάντα ὑπη-
25 χοῦντος ἑτέρου· φαύλῳ δὲ οὐ θέμις γενέσθαι θεοῦ, ὥστε κυρί[ως μοχθηρ]ὸς [οὐ]δε[ὶς ἐν]θουσ[ιᾷ, μόνῳ] δὲ [σοφ]ῷ [ταῦτ' ἐφαρμόττει], ἐπ[εὶ καὶ μόνος ὄργανον θεοῦ ἐστ]ι ἠχ[οῦν, κρουόμεν]ον καὶ [πληττόμενον ἀορ]άτως ὑπ' αὐτοῦ. [πάν]τας γοῦν ὁπόσους ἀνέγραψαν δικαίους, κα[τεχο]μέ[νο]υς καὶ προφητεύοντ[ας] εἰσήγαγεν. ὁ Νῶε [δίκαιος· ἄρ ']οὐ [καὶ εὐ]θὺς προφήτης; ἢ τὰς] εὐ[χὰς καὶ κατάρας ἃς ἐπὶ ταῖς αὖθις γενεαῖς ἐποιήσατο, ἔργων ἀληθείᾳ βεβαιωθείσας, οὐ κατεχόμενος ἐθέσ-
30 πισε; τί δὲ Ἰσαὰκ]; τί δὲ Ἰακ[ὼβ; καὶ γὰρ οὗτοι διὰ τε] ἄλλων [πολλῶν καὶ μάλιστα] διὰ τῶν εἰ[ς

1. ἀλλὰ φύσει κινούμενος, καὶ τὸ πάθος φέρει τῷ δοκιμαστῇ, ὃς εἰ δόκιμον... — 3. Pap. ακρωασις. — 4. προσευχή. — ἡ ἐξαδ. — 5. ἔφαγεν. — δεῖ. — 6. ἐὰν γὰρ τὸ πάθος εἰσίῃ εἰς... — 10. καὶ τὴν. — Ἰούδας. — ἐμελλήσαμεν pour ἐβραδ. — 11. Om. ου φησιν, mais après Αἴγ. se lit, δὶς οὖν φησιν ἀλλ' ἐκεῖθεν... — 12. ὁ νοῦς. — ὁ Ἰωσὴφ. — 13. καὶ τὰ ἄλλα ἄν τις ἐπιὼν ὑποδ. — 14. πρόκ. δ. νῦν οὐ περ. — ἐξ ἀρχῆς pour ἑξῆς. — 15. τρίτης ἐννοίας τὰ περί.... — ἐπέβαλε. — 16. τὴν ἠρεμ. καὶ ἡσυχ. — γρήγορσις. — 17. αἱ γρηγόρσεις. — τῆς διαν. — 19. τοῦτο. — 21. Om. ἀρχούσαν. — 22. τῷ ἀνθρ. τὴν γυν. — 23. καὶ παντὶ δὲ ανθρώπῳ ἀστ. ὁ ἱερ. λόγ. προφ. μαρτυρεῖ. 24. Pap. υφηχουντος. — 25. θέμις ἑρμηνεῖ γεν. — 27. ἀνέγραψε. — 28. Om. ὁ. — προφ. εὐθύς. — 30. πολλ. ἄλλ.

τοὺς ἐγγόνους] προ[σρήσεων ὁμο]λο[γοῦνται π]ροφητεῦσαι. τὸ γὰρ, [συνά]χθητε ἵνα ἀπαγγ[έλλω
τί ἀ]παντήσεται ὑμῖν [ἐπ' ἐσχά]τῳ τῶν ἡμερ[ῶν, ἐνθουσ]ιῶντος [ἦν· ἡ γὰρ τῶν μελλόν]των
κατάληψις [ἀνοίκειος] ἀνθρώπῳ. τί δ[ὲ Μ]ωϋ[σῆς; ο]ὐ πρ[οφ]ήτης αἴδεται παν[ταχ]οῦ; λέγει γὰρ,
ἐὰν γέ[νη]ται ὑμῶν προφήτης [κυρίου, ἐν ὁρ]άματι [αὐτῷ] γνωσθ[ήσομαι, Μωϋσῆς δὲ ἐν]εῖδι, 5
καὶ οὐ [δι' αἰν]ιγμ[άτ]ων. κ[αὶ] πάλι[ν, οὐκ ἀνέστη ἔ]τι π[ρο]φήτης [ὡς] Μωϋσῆν, ὃν ἔγνω [κύριος].
παγκάλως οὖν τὸν ἐν[θ]ο[υσιῶντα μηνύει φάσκων, [πε]ρὶ ἡλίου δυσμὰς ἔκστασις ἐπέπεσεν, ἥλιον
διὰ συμβόλου τὸν ἡμέ[τε]ρον κ[αλῶ]ν νοῦν. ὅπερ γὰρ ἐν ἡμῖν λογισμὸς, τοῦ]τ[ο ἐ]ν. κ[όσμῳ
ἥλιος· ἐπειδὴ φωσ]φο[ρεῖ ἑκάτερος, ὁ μὲν τῷ παντὶ φέγγος αἰσθητὸν ἐκπέμπων, ὁ δὲ ἡμῖν αὐτοῖς
τὰς νοητὰς διὰ τῶν καταλήμψεων αὐγάς. ἕως μὲν οὖν] ἔτι περιλάμ[πει καὶ πε]ριπολεῖ ἡμῶν Col. a.
ὁ [νοῦς, μ]εσηβρινὸν οἷα φέγγος εἰς πᾶσαν τὴν ψυχὴν ἀναχέων, ἐν αὐτῷ ὄντες, οὐ κατεχόμεθα· 10
ἐπειδάν τε πρὸς δυσμὰς γένηται κατὰ τὸ εἰκὸς ἔκστασις καὶ ἡ ἔνθεος ἐπιπείπτει κατακωχή
τε καὶ μανία. ὅταν μὲν γὰρ φῶς τὸ θεῖον ἐπιλάμψῃ, δύεται τὸ ἀνθρώπινον, ὅταν δὲ ἐκεῖνο δύε-
ται, ταὐτ' ἀνίσχει καὶ ἀνατέλλει. τῷ δὲ προφητι[κῷ] γένει φιλεῖ τοῦτο συμ[βαίνε]ιν. ἐξοικείζεται
μὲν [γὰρ ἐν] ἡμῖν νοῦς κατὰ τὴν [τοῦ θεί]ου πνεύματος ἄφιξιν, κατὰ δὲ τὴν μετανάστασιν
αὐτοῦ πάλιν εἰσοικίζεται. θέμις γ[ὰρ οὐκ] ἔστιν θνητὸν ἀθανάτῳ συνοικῆσαι. διὰ τουτὸ ἡ δύσις 15
τοῦ λογισμοῦ καὶ τὸ περὶ αὐτὸν σκότος, ἔκστασιν [καὶ θεοφ]όρητον μανίαν ἐ[γέννησε]. τὸ δὲ
ἀκόλουθον [προσυφ]αίνει τῇ [γραφῇ, φάσκων], ἐῤῥέθη πρὸς Ἀβραάμ. ὄντω[ς γ]ὰρ ὁ προφήτης.
κ[αὶ ὁπότε λέγειν δοκεῖ, πρὸς ἀλήθειαν ἡσυχάζει· καταχρῆται δὲ ἕτερος αὐτοῦ τοῖς φωνητηρίοις]
ὀργάνοις, στό[ματι καὶ γλώτ]τῃ, πρὸς μήνυσιν [ὧν ἂν θέ]λῃ. τέχνῃ δὲ ἀορά[τῳ] καὶ παμμούσῳ Pag. XLVd.
ταῦτα κρούων, εὔηχα καὶ παναρμόνια καὶ γέμοντα συμφωνίας τῆς πάσης ἀποτελεῖ. τίνα δ' ἐστὶν 20
ἃ ἐῤῥέθη προσθεσπισθέντα, καλὸν ἀκοῦσαι. πρῶτον μὲν, ὅτι τῷ φιλαρέτῳ κατοικεῖν οὐ δίδωσιν
ὁ θεὸς, ὡς ἐν οἰκείᾳ γῇ, τῷ σώματι, ἀλλὰ παροικεῖν ὡς ἐν ἀλλοδαπῇ μόνον ἐπιτρέπει χώρᾳ.
γνώσῃ γὰρ, φησὶν, ὅτι πάροικον ἔσται τὸ σπέρμα σοῦ ἐν γῇ οὐκ ἰδίᾳ. παντὸς δὲ φαύλου
συγγενὲς τὸ σώματος χωρίον, ἐν ᾧ μελετᾷ κατοικεῖν, οὐ παροικεῖν. ἓν μὲν δὴ παίδευμα τοῦτο·
ἕτερον δὲ, ὅτι τα δουλείαν καὶ κάκωσιν καὶ δεινὴν, ὡς αὐτὸς ἔφη, ταπείνωσιν ἐπά[γοντα τῇ] 25
ψυχὴ, τὰ κατὰ γ[ῆν ἔστιν οἰκί]δια. νόθος γ[ὰρ καὶ] ξένα διανοίας τὰ σώματος ὡς ἀληθῶς
[πά]θη, σαρκ[ὸς ἐκπεφυκότα, ᾗ προσερῤῥίζωνται. τετρακόσια δὲ ἔτη γίνεται ἡ δουλεία, κατὰ τὰς
τῶν τεττάρων παθῶν] δυνάμ[εις. ἀρχο]ύσης μὲν [γὰρ] ἡδ[ονῆς, με[τεωρίζετ[αι] καὶ φυ[σᾶται Col. b.
τὸ φ]ρόνημα, χαύνῳ κουφότητι ἐ[ξαιρόμε]νον· ὅταν δὲ ἐπ[ιθυμία] κρατήσῃ, ἔρως ἐγγ[ίνεται] τῶν
ἀπόντων, κ[αὶ τὴν] ψυχὴν ὥσπερ ἀ[π' ἀγχόνης] ἐλπίδος ἀτελο[ῦς ἐκρέμασε]. δίψης εἰ μὲν γὰρ 30
[αἰεὶ, πιεῖν] δὲ Τἀδυνατεῖ, αντά[λειον τι]μωρίαν ὑπομένουσα. κα[τὰ δὲ τὴ]ν τῆς λύπης δυναστείαν

1. συλλέγητε ἵνα ἀναγγέλλω τί ἀπαντήσει... ἐπ' ἐσχάτων... — 3. Pap. λεγε. — 4. Μοϋσῇ. — 5. ὡς Μωϋσῆς ὃν ἔγνω αὐτὸν κύριος πρόσωπον πρὸς πρόσωπον. — 6. Pap. μηνυε. — ἥλιον δὲ διά... — 7. νοῦν καλεῖ. — 10. ἐν ἑαυτοῖς. — 11. ἐπειδ. δέ. — Om. καὶ. — κατοχωτική... — 12. ὅτε μὲν γάρ... — Pap. δυηται. — ὅτε δ' ἐκεῖνο δύει, τοῦτ' ἀνίσχει. — 15. Pap. αυτα. — 22. Pap. οικειᾶ. — Pap. σοματι. — 23. χώρ. γινώσκων γὰρ φησὶ γνώσῃ ὅτι. — 24. Pap. τω σωμ. — 25. Pap. δε τι. — . Om. τα. — 26. νόθα (meilleur). — 29. Pap. κουφωτητι. — 30. διψᾷ μεν...

συνάγεται καὶ συστέλλεται, φυλλ[ορροούντων] καὶ ἀφαυ[αινομένῳ]ν [τρό]πον δένδρ[ων] · τὸ γὰρ εὐθαλὲς αὐτῆς κ[αὶ πῖ]ον ἰσχναίνεται. φόβ[ου γε μὴν] τυραννήσαντος, οὐδεὶς ἔτι μένειν ἀξιοῖ, δρασμῷ δὲ καὶ φυγῇ χρῆται, μόνως ἂν οὕτως σωθήσεσθαι προδοκῶ[ν. ἐπιθ]υμία [μὲν γὰρ ὁλκὸν ἔ]χουσα [δύναμιν, καὶ ἂν φεύγῃ τὸ ποθούμενον διώκειν ἀναγκάζει · φόβος δ' ἔμπαλιν, ἀλλοτριό-
Pag. XLVII. 5 τητα ἐμποιῶν, διοικίζει, καὶ μακρὰν τοῦ φαινομένου διίστησιν. αἱ δὲ τῶν λεχθέντων ἡγεμ[ονίαι] παθῶν βαρεῖαν τοῖς ἀρχομένοις ἐπάγουσι δο[υλ]είαν, ἄχρις ἂν βραβευτὴς καὶ δικαστὴς θεὸς διακρίνῃ τὸ κακούμενον ἀπὸ τοῦ κακοῦντος, καὶ τὸ μὲν εἰς ἐλευθερείαν ἐξέληται παντελῆ, τῷ δὲ τἀπιχείρια ὧν ἐξήμαρτεν [ἀ]πο[δῷ]. λέγεται γὰρ, τὸ δὲ ἔ[θνος ᾧ ἂν] δουλεύσωσιν, κρινῶ ἐγὼ, μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς. ἀνάγκη [γὰρ θν]ητὸν ὄντα τῷ
10 τῶν παθῶν ἔθνει πιεσθῆναι, καὶ τὰς οἰκείους τῷ γενομένῳ κῆρας ἀναδέξασθαι · βούλημα δὲ θεοῦ, τὰ σύμφυα κακὰ τοῦ γένους ἡμῶν ἐπικουφίζειν. ὥστε καὶ ἡμεῖς ἐν ἀρχῇ τὰ οἰκεῖα πεισόμεθα, ὠμῶν γενόμενοι δεσποτῶν δοῦλοι, καὶ ὁ θεὸς τὸ οἰκεῖον ἐργάσεται ἑαυτῷ, ἄφεσιν καὶ ἐλ[ευθερίαν ταῖς ἱκέτισ]ιν αὐ[τοῦ ψ]υχαῖς προκη[ρύξας, οὐ] μόνον λύσιν δε[σμῶν καὶ ἔξοδον ἐκ τ]ῆς [περιφρουρουμένης εἱρκ]τῆς [παρασχόμενος, ἀλλὰ καὶ ἐφόδια δοὺς, ἅπερ ἀποσκευὴν ἐκάλεσε. τί δὲ
Col. [illegible] 15 τοῦτ' ἔστιν; ἐπει]δὰν ἄνωθεν [ἀπ' οὐρανοῦ] καταβὰς ὁ νοῦς [ἐνδεθῇ] ταῖς σώματος ἀνάγ[καις, εἶτα] ὑπὸ μηδεμειᾶς δελεασθεὶς οἷα ἀνδρόγυνος ἢ γύνανδρος, τὰ ἡδέα ἀσπάσηται κακὰ · μείνας δὲ ἐπὶ τῆς αὐτοῦ φύσεως, ἀνὴρ ὄντως τραχηλίζειν μᾶλλον ἢ τραχηλίζεσθαι δύνηται, τοῖς τῆς ἐγκυκλίου μουσικῆς ἐνγραφεὶς ἅπασιν, ἐξ ὧν θεωρίας λαβὼν ἵμερον, ἐγκράτειαν καὶ καρτερίαν ἐρρωμένας ἀρετὰς ἐκτήσατο, μετανισάμενος, καὶ κάθοδον τὴν εἰς τὴν πατρίδα εὑρισκόμενος, πάντ' ἐπάγεται
20 τὰ παιδείας, ἅπερ ἀποσκευὴ καλεῖται. τοσαῦτα καὶ περὶ τούτων εἰπὼν, ἐπιλέγει, σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σοῦ, μετ' εἰρήνης τραφεὶς ἐν γήρᾳ καλῷ. οὐκοῦν οἱ μὲν ἀτελεῖς καὶ πολεμούμεθα, καὶ δουλεύομ[εν, καὶ μ]όλις ἀπαλλάγην τῶ[ν ἐπικ]ρεμα[σθέντων] φοβερ[ῶν] εὑρισκόμεθα · τὸ δὲ τέλ[ειον γ]ένος, ἀδούλω[τον, ἀπολέμητον], εἰρήνῃ [καὶ ἐλευθερίᾳ βεβαιοτάτῃ ἐντρε-
Pag. LXVIII. φόμενον · δογματικῶς δὲ τὸν ἀστεῖον οὐκ ἀποθνήσκο[ντα, ἀλλ' ἀπερχόμε]νον εἰσήγαγεν, [ἵν'] 25 ἄσ[βεστον] καὶ ἀθάνατον τὸ κεκαθαρ[μέ]νης ἄκρως ψυχῆς ἀποφα[νῆ] γένος, ἀποδημίαν τὴν ἐνθένδε πρὸς οὐρανὸν χρησόμενον, οὐ διαλύσει καὶ φθορᾷ, ἣν ἐπάγειν θάνατος δοκεῖ. μετὰ δὲ τὸ, ἀπελεύσῃ, γέγραπται τὸ, πρὸς τοὺς πατέρας σοῦ. ποίους πατέρας, ἄξιον σκέψασθαι. τοὺς μὲν γὰρ ἐν τῇ Χαλδαίων χώρᾳ βεβιωκ[ότ]ας, οἷς μόνοις ἐχρήσατο συγγενέσιν, οὐκ ἂν λέγοι, διά [τί χρησμ]ῷ τῶν ἀφ' αἵματος ἁπάντων διῳκείσθη. εἶπε γὰρ, φησὶ, κύριος τῷ Ἀβραὰμ ἄπελθε ἐκ τῆς γῆς
30 σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου, εἰς τὴν γῆν ἣν σοι δείξω, καὶ ποιήσω σε εἰς ἔθνος μέγα. τὸν γὰρ ἀλλοτριωθέντα ἐπιφροσύνῃ θείᾳ, πῶς ἦν τοῖς αὐτοῖς

1. τρόπῳ. — 6. ὁ βραβ. — 8. Pour τὰ ἐπιχείρια. — Var. τὰ ἐπίχειρα. — 10. πεισθῆναι κ. τ. οἰκείας τὸν γεννώμενον κῆρας... — Pap. δ θεου. — 11. σύμφυτα. — Pap. κατα. — καὶ ἂν ἡμεῖς. — 17. ἑαυτοῦ. — τραχηλίζων (Om. μᾶλλον) ἢ τραχ. δύναται. — 19. μετανιστάμενος. — Om. τὴν (π.). — 22. εὑρίσκομεν. — 25. ἀποδημιᾳ τῃ. — 26. χρησάμενον. — Pap. επαγει. — 28. τῇ γῇ Χαλδ. — ἐνεχρόνισε au lieu de ἐχρης. — διότι. — 29. Om. ἁπάντων. — Pap. διῳκεισθαι, διῳκείσθαι se prononçait comme διωκίσθη. — ἔξελθε. — 30. πρὸς τ. γ. ἣν ἄν σοι δ.

εὔλογον οἰκειοῦσθαι πάλιν, πῶς δὲ τὸν ἔθνους καὶ γένους [ἑτέρου] μέλλοντα ἡγεμόνα ἔσεσθαι,
προσκληροῦσθαι τῷ παλαιῷ; οὐ [γὰρ ἂν ἐχα]ρίζετο καινὸν τ[ρόπον τινὰ] καὶ [νέο]ν ἔ[θνος, καὶ
γένος αὐτῷ ὁ θεὸς, εἰ μ]ὴ τοῦ ἀρχαίου κατὰ τὸ π[αντ]ελὲς ἀπεσχοίνιζεν. ἐθνάρ[χης γ]ὰρ καὶ Col. b
γενάρχης ὡς ἀληθῶ[ς ἐ]στιν οὗτος ἀφ' οὗ καθάπερ ἀπὸ ῥίζης τὸ σκεπτικὸν καὶ θεωρητικὸν
τῶν τῆς φύσεως πραγμάτων ἀνέβλαστεν ἔρνος, ὄνομα Ἰσραήλ· ἐπὶ καὶ, τὰ παλαιὰ ἐκ προσώπου 5
νέων ἐκφέρειν διείρηται. ποῦ γὰρ ἀρχαιολογίας ἔτι κ[αὶ] παλαιῶν καὶ κατημαξευ[μένων ἐ]θῶν
ὄφελος, οἷς ἐξαπιν[αίως ο]ὐ προσδοκήσασι ἀθρόα κ[αὶ νέ]α ὤμβρησεν ἀγάθα; πατ[έρας οὖν οὐχ
ὧν μετα]νάστ[ατος ἐγένετο ἡ ψυχὴ, καλε]ῖ τοὺς [ἐν το]ῖς Χαλδαϊκοῖς κατωρυγ[μέ]νους μνήμα-
σιν, ἀλλ' ὡς [μὲν ἔ]νιοί φασιν, ἥλιον καὶ σ[ελήν]ην καὶ τοὺς ἄλλου[ς ἀστέρας]· τὴν γὰρ τῶν
κατὰ [γῆ]ν ἁπάντων γένεσιν διὰ τούτων λόγος ἔχει συνίστασθαι. ὡς δέ τινες ν[ο]μίζουσιν, 10
τὰς ἀρχετύπους εἰδέας, τὰ νοη[τὰ κ]αὶ ἀόρατα ἐκεῖνα τῶν [αἰ]σθητῶν καὶ ὁρωμένων [το]ύτων
παραδείγματα, πρ[ὸς] ἃ τὴν τοῦ σοφοῦ διάνοιαν μετοικεί[ζεσθαι. τινὲ]ς δὲ [πατέρας ὑπετό-
πασαν εἰρῆσθαι τὰς τέτταρας ἀρχάς τε καὶ δυνάμεις, ἐξ ὧν συνέστηκεν ὁ κόσμος], γῆν,
[ὕδωρ], ἀέρα καὶ [πῦρ]. εἰς γὰρ ταύτας [ἕκα]στον τ[ῶν] γενομένω[ν φα]σὶν ἀνα[λύεσ]θαι δέον- Pag. XLIX
τως. καθάπερ [γὰρ] ὀνόματα καὶ ῥήματα, καὶ [τὰ] λόγου μέρη πάντα, συνέ[στη]κεν μὲν ἐκ 15
τῶν τῆς γραμματικῆς στοιχείων, ἀναλύεται δὲ πάλιν εἰς ἔ[σχ]ατα ἐκείνων· τὸν αὐτὸν τρό-
πον ἕκαστος ἡμῶν συγκριθεὶς ἐκ τῶν τεττάρων, καὶ δανισάμενος ἀφ' ἑκάστης οὐσίας [μικρὰ
μ]όρια, καθ' ὡρισμένας πε[ριόδου]ς καιρῶν ἐκτίνει [τὸ δάνειον· εἰ] μέν [τι ξηρὸν ᾖ, ἐπιδι]-
δοὺς γῇ· εἰ [δέ τι ὑγρὸν, ὕδα[τι· εἰ δ]ὲ ψυχρὸν, ἀέρι· εἰ δ' [ἔνθερμ]ον, πυρί. τὰ μὲν σώματα,
ταῦτα· τὸ δέ νο[ερὸν καὶ οὐρά]νιον τῆς ψυχῆς [γένος, πρ]ὸς αἰθέρα τὸν καθαρώτατον, ὡς πατέρα 20
ἀφείξεται. πέμπτη γὰρ, ὡς ὁ τῶν ἀρχαίων λόγος, ἔστω τις οὐσία κυκλοφορητικὴ, τῶν τεττάρων
κατὰ τὸ κρεῖττον διαφέρουσα ἐξ ἧς οἵ τε ἀστέρες καὶ ὁ σύμπας οὐρανὸς ἔδοξε γεγενῆσθαι [ἧς]
κατὰ ἀκό[λουθον θετέο]ν καὶ τὴν ἀ[νθρωπίνην ψυχὴν ἀπόσπασμα. τὸ δὲ, μετ' εἰρήνης τραφεὶς,
οὐκ ἀπὸ σκοποῦ προσδιώρισται, ἀ]λλ' ὅτι σχεδὸν [τὸ πλεῖστον] ἀνθρώπων γένος, ἐπὶ [πολέμ]ῳ Col. b
καὶ τοῖς ἐκ πολέ[μου] κακοῖς πᾶσι τρέφεται. [πο]λέμος δ' ὁ μὲν τῶν ἐκτός ἐστιν, ὃν ἀδοξία 25
καὶ δυσγένεια καὶ πένεια καὶ τὰ ὁμοιότροπα ἐπάγουσιν. ὁδ' ἀπὸ τῶν ἐμφυλείων κατὰ μὲν τὸ
σῶμα, ἀσθένεια, λῶβαι, πηρώσεις παντελεῖς, καὶ κηρῶν σωρὸς ἄλλων ἀμυθήτων· κατὰ δὲ τὴν
ψυχὴν, πάθη, [νο]σήματα, ἀῤῥωστήματα, [δι'] ἀφροσύνης καὶ ἀδι[κίας καὶ] τῶν ὁμοτυράννων
χαλ[επ]αὶ καὶ βαρύταται ἐπαναστάσεις, καὶ ἀκαθαίρετοι δυναστείαι. μετ' εἰρήνης οὖν τραφεὶς,
γαληνὸν κ[αὶ] εὔδιον κτησάμενος βίον, εὐδαιμονῶς ἀληθῶς καὶ μακάριον. πότε οὖν τοιοῦτο 30
συμβήσεται; ὅταν εὐοδῇ μὲν τὰ ἐκτὸς πρὸς εὐπορίαν καὶ εὐδοξίαν· εὐοδῇ δὲ τὰ σώματος

1. Pap. μέλλον. — ἔσ. ἡγεμ. — 4. θεωρ. καὶ σκεπτ. — 5. ἀνεβλάστησεν. — Pour ἐπεὶ. — 7. οὐδὲν. — Pap. προδοκήσασι. — Pap. ωμβησεν. — 8. Pap. κατορωρυγμένους. — 9. ἀστ. τῶν γὰρ κ. γῆν ἀπ. τὴν φύσιν. — 16. ἐκεῖνα. — 17. συγκραθείς. — καὶ ἀφ' ἐκ. οὐσ. δανεισ. — 19. (εἰ δ' ἔνθερμον πυρί) est placé après ὕδατι. — σωματικά. — 20. ὡς πρὸς πατέρα. — 23. κατὰ τὸ ἀκόλ. — 25. ἀπὸ τῶν ἐκτ. — 26. Om. καὶ πένεια (pour κ. πεῖνα ?) — 27. ἀσθένειαι. — 28. ὁμοιοτυράννων. — 29. δυνάμεις. — 30. ὁ γαλην. — Pap. κτησαμενους. — Pour εὐδαίμονα ὡς. — τοῦτο συμβ. — 31. εὐοδ. μοι τὰ ἐκτ.

πρὸς ὑγιείαν τε καὶ ἰσχὺν · εὐοδῇ δὲ τὰ ψυχῆς πρὸς [ἀπόλαυσι]ν ἀρετῶν. χρήζει γὰρ ἕ[καστ]ον οἰκείων [δ]ορυφόρων. [δορυφ]ορεῖ[ται δὲ] σῶμα μὲν [εὐδοξίᾳ, περιουσίᾳ καὶ ἀφθονίᾳ
Pap. I. πλούτου · ψυχὴ δὲ, τῷ τοῦ σώματος] ὁλοκλή[ρῳ καὶ κατὰ πάντα] ὑγείνῳ · ὁ δ[ὲ νοῦς ὑπὸ τῶν ἐν] ταῖς ἐπιστήμαι[ς θεωρημά]των. ἐπεὶ ὅτι τε εἰ]ρήνης, οὐχ] ἣν αἱ πόλ[ε]ις ἄγουσιν, μέμνηται, σαφές ἐστιν τοῖς ἐντυγχάνουσιν ταῖς ἱεραῖς γραφαῖς. μεγάλους καὶ βαρεῖς πολέμους Ἀβραὰμ ἀνεδέξατο, οὓς καθηρηκὼς φαίνεται. καὶ ἡ τῆς πατρῴας μέντοι γῆς ἀπολειψις μετανισταμένῳ καὶ πάλιν οἴκῆσαι μὴ δυναμένῳ, φορουμένῳ δὲ ὧδε κἀκεῖσε, καὶ ἐρήμους καὶ ἀτριβεῖς ὁδοὺς ἁλωμένῳ, τῷ μὴ θεοπροπίοις καί τισι θεσφάτοις πεπιστευκότι βαρὺς ἦν πόλεμος. ἀλλ' ἔδει γὰρ καὶ τρίτον τι τῶν φοβερῶν προσεπιδαψιλεύσασθαι, λειμὸν μετὰ ἀναστάσεως καὶ πολέμου κακὸν χεῖρον. ποίαν οὖν εἰρήνην ἤγαγεν; τὸ γὰρ, οἶμαι, μετανίστασθαι, καὶ ἀΐδρυτον εἶναι, καὶ βασιλέων ἀμάχοις ἐναντιοῦσθαι δυνάμενον, καὶ λειμῷ πιέζεσθαι, πόλεμον οὐχ ἕνα, πολ[λοὺς δὲ] καὶ πολυτρόπους [ἔοικε μη]νύειν. ἀλλ' ἔν [γε ταῖς δι' ὑπονοιῶν ἀπ[οδόσεσιν, εἰρή-
Col. II. νης ἀκράτου δεῖγμα ἕκαστον αὐτῶν εἶναι συμβέβηκε. παθῶν γὰρ] ἔνδει[α, καὶ λειμὸς, καὶ καθαίρεσις ἐχθ[ρῶ]ν ἀδικημάτων, καὶ μετα[νάσ]τασις ἀπὸ Χαλδαϊκῆς δό[ξης] πρὸς τὴν φιλόθεον, τοῦτ' ἔστιν ἀπὸ τοῦ γεγονότος αἰσθητοῦ πρὸς τὸ νοητὸν καὶ πεποιηκὸς αἴτιον, εὐνομίαν καὶ εὐστάθειαν κατασκευάζουσιν. ὑπισχνεῖται δὲ τῷ τοιαύτην ἄγοντι εἰρήνην, καλὸν γῆρας, οὐ δήπου τὴν πολυχρόνιον, ἀλλὰ τὴν μετὰ φρονήσεως ζωήν. τὸ γὰρ εὐήμερον πολυετίας κρε[ῖτ]τον, ὅσῳ καὶ βραχ[ύτερον] φῶς σκότους αἰωνίο[υ. μί]αν γὰρ ἡμέραν, ὑγιῶς εἶπέ [τις] προφητικὸς ἀνὴρ, βούλεσθ[αι βι]ῶ[ναι] μετ' ἀρετῆς, ἢ μυρί[α ἔτη ἐ]ν σκιᾷ θανάτου · θάν[ατ]ον μέντοι τῶν φαύλων αἰνιττ[ό]με[νος βίον. τὸ δὲ αὐτὸ καὶ νῦν ἐν τοῖς μᾶλλον ἢ ῥήμασι διασυνίστησι Μωϋσῆς. ὃν γὰρ ἀναγράφει γήρᾳ χρησάμενον καλῷ, τῶν πρὸ αὐτοῦ σχεδὸν ἁπάντων ὀλιγοχρονιώτατον εἰ]σ]ήγαγεν · φιλοσοφῶν καὶ διδάσκων ἡμᾶς, τίς ὁ πρὸς ἀλήθειαν εὐγήρως ἔστιν, ἵνα μὴ πολὺ τῦφον ἐπὶ τοῦ φανεροῦ [σώ]ματό[ς ποτ]ε ἀποδεξ[ώμετα, γ]έμ[οντα αἰσ]χύ[νης καὶ πολλῶν ὀνει-
Pap. II. δῶν · ἀλλ' εὐβουλίαν καὶ σταθερό]τητα ψυχῆς ἰδόντες, τὸ γέρως ἀδελφὸν καὶ παρώνυμον καλὸν γῆρας ἐπιφημίσωμέν τε καὶ μαρτυρήσωμεν. δογματικῶς οὖν ἄκουε κατὰ τὸν νομοθέτεν μόνον τὸν ἀστεῖον εὐγήρον καὶ μακροβιώτατον · τὸν δὲ φαῦλον ἀποθνήσκειν ἀεὶ μανθάνοντα, μᾶλλον δὲ τὴν ἀρετῆς ζωὴν ἤδη τετελευτηκότα. λέγεται δὲ ἑξῆς, τετάρτῃ δὲ γενεᾷ ἀποστραφήσονται ὧδε, οὐχ ἵνα αὐτῷ μόνον μηνυθῇ χρόνος, ἐν ᾧ τὴν ἱερὰν οἰκήσουσι γῆν, ἀλλὰ καὶ ὑπὲρ τοῦ τελείαν ἀποκατάστασιν ψυχῆς παραστῆσαι. γείνεται δὲ ὡσανεὶ τετάρτῃ γενεᾷ ὃν δὲ τρόπον ἄξιον

1. εὐοδ. δὲ καὶ τὰ ψ. — 2. καὶ περ. — 3. ὑγιεινῷ. — 4. ὅτι γε. — 5. Pap. μεγαλοις. — 7. πόλιν. — φερομένῳ. — 9. ἀλλὰ δεῖ. Pap. αλλ' εδε. — προσενδαψιλευσασθαι. — μεταναστάσεως. — 10. κακῶν χείρονα. — ἀνίδρυτον. — 11. βασιλεῦσιν. — μὴ δυνάμενον. Turn. concord. avec Pap. — 14. Pap. φοβεον pour φιλόθ. — 15. Om. αἰσθητοῦ. — Pap. τον (νοητον). — 16. Om. την resp. τό. — 17. ἀλλὰ τὸ μετ. φρον. ζῆν. — Pap. κρειττω οσον. — 18. προφήτης. — 19. ἐν σκιᾷ τοῦ θανάτου, σκιὰν τὸν φαῦλον αἰνιττ. β. (Pap. ανιττομενος). — 20. ῥήματι. — 21. χρησόμενον. — 22. παλαιὸν τῦφον. — 23. ἀναδεξώμετα. — 26. Pap. première main ασθειον; τ en surcharge. — εὐγήρων κ. μακρ. ὀλιγοχρονιώτατον δὲ τὸν φ. ἀποθν. μανθ. — 27. Pap. αποστραφησον. — 28. ἵνα μόνον αὐτῷ μηνυθῇ ὁ χρ. Pap. αυτο! — ἀλλ' ὑπὲρ τοῦ καὶ τὴν τελ. αποκ. ἀρετῆς παραστ. (Pap. παρασθησαι).

[συ]νδιασκέψασθαι. ἀποκυηθὲν τὸ βρέφος ἄχρι τῆς πρώτης ἑπταετίας ἐν ἡλικίᾳ τῇ παιδικῇ ψυχῆς
ἀκραιφνοῦς μεμοίραται, λείῳ μαλίστα ἐμφεροῦς, κήρῳ τοῖς ἀγαθῶν καὶ κακῶν χαρακτῆρσει
μήπω τετυπωμένῃ. καὶ γὰρ ὅσα γράφεσθαι δοκεῖ, ὑγρότητι ἐπαλειφόμενα συγχεῖται. πρώτη μὲν
ἤδη ὡσανεὶ γενεὰ ψυχῆς. δευτέρα τέ, τις [μετὰ τὴν παιδικὴν] ἡ[λικίαν, κακοῖς ἄρχεται συ]ζῆν
[ἅ τε] ἐξ ἑαυτῆ[ς εἴωθε γεννᾶν ψυχῆς, καὶ ὅσ]α παρὰ τῶν [ἄλλ]ων ἀσμένως δέχεται. [διδά]- 5 Col. b.
σκαλοί τε γὰρ ἁμαρτημάτων μυρίοι, τίθθαι, καὶ παιδαγωγοί, καὶ γονεῖς, καὶ οἱ κατὰ πόλεις
γεγραμμένοι καὶ ἄγραφοι νόμοι, θαυμάζοντες ἃ χρὴ γελᾶσθαι· καὶ ἄνευ τῶν διδαξόντων αὐτο-
μαθής ἐστιν αὕτη πρὸς τὰ ὑπαίτια, ὡς ὑπ' εὐφορείας ἀεὶ κακῶν βρίθειν ἔγκειται γὰρ φησὶ
Μωσῆς ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος. ἥδ' ἔστιν ἡ ἐπαρατο-
τάτη γενεὰ μὲν συμβολικῶς, κυρίως δὲ ἡλικία, καθ' ἣν τό τε σῶμα ἡβᾷ, καὶ ἡ ψυχὴ πεφύση- 10
ται, τῶν ἐντυφωμένων ἀναῤῥιπιζομένων παθῶν, ἄλλως τε καὶ ἀστάχυς καὶ πεδία καὶ ὅσα ἂν
τύχῃ καταπιμπράντων. ταύτην ἐπίνοσον γενεὰν ἡ ἡλικίαν ὑπό τινος τρίτης, οἷα ὑπὸ ἰατρικῆς
φιλοσοφίας, νοσηλευθῆναι χρὴ, κα[τεπασθεῖ]σαν λόγοις ὑγιεινοῖς [καὶ σω]τηρίοις, δι' ὧν κέν[ωσιν
μὲν] ἐνδέξηται τῆς ἀμ[έτρου τῶν ἁμαρτημάτω[ν πλησμονῆς· πλήρωσιν δὲ λιμηρᾶς κενώσεως]
τῶν κατορ[θωμάτων καὶ] ἠρεμίας δεινῆς. μετὰ [τὴν θερα]πείαν οὖν γενεᾷ τετάρτῃ φύεται ψυχῇ 15 Pag. LII.
δύναμίς τε καὶ ῥώμη, κατὰ φρόνησιν βεβαιοτάτην ἀνάληψιν, καὶ τὸ ἐν ἁπάσαις ἀρεταῖς ἀκλι-
νές τε καὶ πάγιον. τοῦτ' ἔστιν τὸ λεγόμενον, τετάρτῃ δὲ γενεᾷ ἀποστραφήσονται ὧδε. κατὰ γὰρ
τὸν δειχθέντα τέταρτον ἀριθμὸν ἀποστραφεῖσα τοῦ διαμαρτάνειν ἡ ψυχὴ κληρονόμος ἀποδεί-
κνυται σοφίας. πρῶτος μὲν γὰρ ἀριθμὸς, καθ' ὃν οὔτε ἀγαθῶν οὔτε κακῶν λαβεῖν ἔννοιάν ἐστιν,
ἀτυπώτου τῆς ψυχῆς ὑπαρχούσης. δεύτερος δὲ, καθ' ὃν φορᾷ τῶν ἁμαρτημάτων χρώμεθα. τρί- 20
τος δὲ, ἐν ᾧ θεραπευόμεθα, τὰ νοσερὰ διωθούμενοι, καὶ τὴν ἀκμὴν τῶν παθῶν ἀφηβῶντες, τέταρ-
τος δὲ, ἐν ᾧ παντελοῦς ὑγιείας καὶ ῥώσεως μεταποιούμεθα, ὁπότε ἀποστρεφόμενοι τὰ φαῦλα,
τοῖς καλοῖς ἐγχειρεῖν δοκοῦμεν, πρότερον δὲ οὐκ ἔξεστιν. τὸ δὲ ἄχ]ρι τί]νος, αὐτὸς μηνύσει.
[λέγ]ω[ν, ο]ὔπ[ω γὰρ ἀναπεπλήρων]ται αἱ ἀνομ[ίαι] τῶν Ἀ[μορρά]ιων. δίδωσιν δὲ ἀφορ[μὴν] Col. b.
τοῖς ἀσθενεστέροις τὰ τοιαῦτα ὡς ὑπολαμβάνειν, ὅτι Μωϋσῆς εἱμαρμένην καὶ ἀνάγκην ὡς αἰτίας 25
τῶν γεινομένων ἁπάντων εἰσάγει. χρὴ δὲ μὴ ἀγνοεῖν, ὅτι ἀκολουθίαν μὲν καὶ εἱρμὸν καὶ
ἐπιπλοκὰς αἰτιῶν, ἅτε φιλόσοφος καὶ θεοφράδμων ἀνὴρ οἶδεν. τούτοις οὐκ ἀν[άπτει] τὰς [τῶν]
γεινομένων αἰτίας. ἐ[φαν]τασιώθη γὰρ πρεσβύτερον ἄλλο ἐποχούμενον τοῖς ὅλοις, ἡνιόχου τρό-
πον ἢ κ[υβερνή]του. πηδαλιουχεῖ γὰρ τὸ κοινὸν τοῦ κόσμου σκάφος, ᾧ τὰ πάντα ἐμπλέκει, καὶ

1. Pour παιδικῇ. — φύσεως au lieu de ψυχ. — 2. Pap. λειμῳ μαλλιστα. — ἐμφεροῦς ἀκηράτοις ἀγ. Mangey a donc bien conjecturé ἐμφεροῦς κήρῳ, τοῖς κτλ. — 3. Pap. τετυπωμένης. — Pap. κοδει pour δοκ. — δι' ὑγρότητα. — 4. ἥδε. — δευτ. δὲ ἥτις μετά... — 5. Om. ψυχῆς. — Pap. ασμενη. — 6. τίτθαι. — 7. γεγρ. νόμοι καὶ ἄγραφοι. — διδαξάντων. — 8. Om. τὰ. — 9. Om. Μωσῆς. — 11. ἀλωάς (Turn. ἄλλως) τε καὶ στάχυας (Turn. ἀστάχυς). — 12. ταύτ. τὴν ἐπίν. — 14. ἐνδέξεται. — 15. ἐρημίας (meilleur). — οὖν ταύτην τετάρτ. γενεᾷ. — 16. κατὰ τὴν τῆς φρονήσεως. — 17. Om. δὲ. — 19. Pap. αριμθος. — ἔνν. λαβ. — 20. Om. τῆς (ψ.). — Pap. δευτερον. — 23. Om. τοῖς. — Pap. εγχειρεν. — μηνύει. — 27. ἀνὴρ ὢν οἶδε τούτοις δέ. — 29. ἐμπλεῖ.

τὸ π[τη]νὸν ἅρμα, τὸν σύμπαντα οὐρανὸν, ἡνιοχεῖ, χρώμενον αὐτεξουσίῳ καὶ αὐτοκράτορι βασι-
λείᾳ. τί οὖν καὶ περὶ τούτων λεκτέον; ἑρμηνεύονται Ἀμορραῖοι, λαλοῦντες. τὸ δὲ μέγισ[το]ν
ἀ[γα]θὸν δωρηθὲν ὑπὸ φύ[σεως, τ]ὸν λόγον, μυρίοι τῶν [λαβόντω]ν διέφθειραν, ἀχα[ρίστως καὶ
Pag. LIII. ἀπίστως τῇ δούσῃ προσενεχθέντες. οὗτοι δέ εἰσιν] οἱ γόητες, [οἱ] κόλακες, οἱ πιθανῶν [σοφισ]-
5 μάτων εὑρεταὶ, φενακίσαι καὶ παρακρούσασθαι μόνον εὖ εἰδότες, τοῦ ἀψευδεῖν οὐ πεφροντικό-
τες. ἐπιτηδεύουσι μέντοι καὶ ἀσάφειαν· ἀσάφεια δὲ βαθὺ σκότος ἐν λόγῳ, κλέπταις δὲ συνεργὸν
τὸ σκότος. οὗ χάριν Μωϋσῆς τὸν ἀρχιερέα δηλώσει καὶ ἀληθείᾳ διακεκόσμηκεν, ἀρίδηλον ἀξιῶν
εἶναι καὶ ἀληθῆ τὸν τοῦ σπουδαίου λόγον. οἱ δὲ πολλοὶ τὸν ἄδηλον καὶ ψευδῆ μεταδιώκουσιν,
ᾧ συνεπιγράφεται πᾶς ὁ τῶν ἀγελαίων καὶ ἠμελημένων ἀνθρώπων ἀπατώμενος ὄχλος. ἕως
10 μὲν οὖν, οὐκ ἀναπεπλήρωται τὰ ἁμαρτήματα τῶν Ἀμορραίων, τοῦτ' ἔστι τῶν σοφιστικῶν
λόγων διὰ τὸ ἀπεξέλεγκτον, ἀλλὰ ἔτι ἐνδείλοκον ἔχοντα δυνάμιν ταῖς πιθανότησιν ἡμᾶς ἀπά-
γ[ετα]ι, κ[αὶ ἀ]ποστραφῆναι καὶ κα[ταλιπεῖν αὐτὰ] οὐ δυνάμενοι, [τῷ δε]λεάζεσθαι [κα]τα-
[μένομε]ν ἐὰν δὲ πᾶσ[αι αἱ] ψευδ[εῖς πιθανότητες διελεγχθῶσιν ὑπὸ τῶν ἀληθῶν πίστεων, καὶ
Col. II. πλήρεις αὐτῶν] καὶ ἐπιχειλεῖς αἱ ἁμαρτίαι περιφανῶσιν, ἀποδρασόμεθα ἀμεταστρεπτεὶ, καὶ
15 μονονοὺ τὰ ἀπόγαια ἀράμενοι, τῆς τῶν ψευσμάτων καὶ σοφισμάτων χώρας ἐξαναχθησόμεθα,
τοῖς ἀληθείας ναυλοχωτάτοις ὑποδρόμοις καὶ λιμέσιν ἐνορμίσασθαι ἐπειγόμενοι. τοιοῦτον τὸ
δηλούμενον ὑπὸ τῆς προτάσεως, ἀμήχανον γὰρ ἀποστραφῆναι καὶ μεισῆσαι καὶ καταλιπεῖν τὸ
πείθανὸν ψεῦδος, εἰ μὴ τὸ περὶ αὐτὸ ἁμάρτημα πλῆρες ἀναφανῇ καὶ τέλειον. ἀναφανεῖται δὲ
ἐκ τοῦ μὴ περιέργως διαλεχθῆναι, κατὰ τὴν τοῦ ἀληθοῦς ἀντίταξιν καὶ βεβαίωσιν. λέγει δὲ
20 ἑξῆς, ἐπεὶ δὲ ἐγείνετο ὁ ἥλιος πρὸς δυσμὰς, φλὸξ ἐγένετο, δηλῶν, ὅτι ἀρετὴ πρᾶγμά ἐστιν ὀψί-
γονον, καὶ μὴν ὡς ἔφασάν τινες, πρὸς αὐταῖς ταῖς τοῦ βίου δυσμαῖς βεβαιούμενον. ἀρετὴν δὲ
ἀπεικάζει φλογεῖ. καθάπερ γὰρ ἡ φλὸξ καίει μὲν τὴν παραβληθεῖσαν ὕλην, φωτίζει δὲ τὸν
Pag. LIV. γείτονα ἀέρα· [τὸν αὐ]τὸν τρόπον ἐνπίπρησει μὲν τὰ ἁμαρτήματα ἡ ἀρετὴ, φέγγους δὲ τὴν
ὅλην ἀναπίμπλησι διάνοιαν. ἀλλὰ γὰρ ἔτι τῶν ἀδιαιρέτων καὶ ἀμερίστων λόγων ἐπικρατούν-
25 των ταῖς ἐπιθανότησι, οὓς Ἀμορραίους ἀνακαλεῖ, περιφανεστάτην καὶ ἄσκιον αὐτὴν ἰδεῖν οὐ
δυνάμεθα· κλειβάνου δ' εἰλικρινὲς πῦρ οὐκ ἔχοντος, ἀλλ' ὡς αὐτὸς ἔφη, καπνιζομένου τρόπον
διακείμεθα, σπινθῆρσι μὲν τῆς ἐπιστήμης ὑποτυφόμενοι, μήπω δὲ καθαρῷ πυρὶ δοκιμασθῆναι
καὶ κραταιωθῆναι δυνάμενοι. πολλὴ δὲ τῷ σπείραντι τοὺς σπινθῆρας χάρις, ἵνα μὴ νεκρῶν
τρόπον σωμάτων ὁ νοῦς ὑπὸ παθῶν καταψυχθῇ, ἀλλ' ἔνθερμος ὢν καὶ χλιαινόμενος ὑπεκκαύ-
35 μασιν ἀρετῆς ζωπυρῆται, μέχρι τοῦ τὴν εἰς πῦρ ἱ[ερ]ὸν, [ὡς ὁ Να]βὰδ καὶ [Ἀ]βιοὺδ, δέ[ξασθαι
μεταβο]λήν. καπνὸς δ[ὲ γίνεται] μὲν π[ρὸ πυρ]ὸ[ς, δακρύειν] δὲ βιάζεται τοὺς π[λησιά]ζοντα]ς.

2. Ἀμμορραῖοι. — 3. ἀγ. ἀνθρώπῳ δωρ. — 4. οἱ κόλ. οἱ γόητ. πιθ. — 4. μᾶλλον pour μόνον. — 10. ἀναπεπλήρωνται. — 11. ἀνεξέλεγκτον. — εὐδίολκον. Turn. comme le Pap. — ἐπάγεται. — 12. Om. le premier καὶ. — 15. ἀπόγεια. — 16. τοιοῦτον δὴ τό. — 17. Om. γάρ. — 18. Pap. πλήρης. — Pap. αναφανειν κ. — 19. παρέργως. — 20. Pap. προς δυσμαις. προς δυσμαις semble intentionnel et se trouve plusieurs fois. — 21. Pap. προς αυτοις. — Entre δυ et σμαις une syllabe (σα) est biffée par une parenthèse. — 23. Pap. φεγγυς. — 25. πιθανότησιν. — αὐγήν. — 27. ...μὲν τοῖς ἐπιστ. — πυρὶ καθ. — 29. Om. ὑπὸ παθῶν. — καταψυγῇ. — ἀλειανόμενος au lieu de χλιαιν.

ἀ]μφό[τερ]α δὲ φι[λεῖ] συμβαίν[ειν. τοῖς γὰρ ἀρετῆς] ἀγγέλοις [προχορεύοντες] τελειότη[τα ἐλπί-
ζομεν], καὶ εἰ μήπω δ[υναίμετα τυ]χεῖν αὐτῆς, οὐκ ἀδακρυτὶ] διάγομεν ἀνιώ[μενοι. πολὺς] γὰρ
ὅταν ἵμερ[ος ἐνταχῇ], πρὸς τὴν τοῦ [ποθουμένου] [θήραν [ἐπισπεύδει, καὶ ἄχρι το]ῦ συλλα[βεῖν
κατηφεῖν ἀναγκάζει. [κλειβάνῳ δὲ ν]ῦν ἐξωμοίω[σε τὴν ψυχὴν] τοῦ φιλομαθοῦς [καὶ ἐλπίδα
τελειώσεω[ς ἔχοντος, ἐπει]δὴ τροφῆς π[εττομένης συγ]κραταιοῦν [ἑκάτερον] ἀγγεῖόν ἐστιν. ὁ μὲν 5
τῆς διὰ σιτίων φθαρτῶ[ν, ἡ δὲ τῆς] δι' ἀφθάρτων ἀρ[ετῶν. αἱ δὲ] λαμπάδες τοῦ πυ[ρὸς αἱ
δα]δουχούμεναι, τοῦ [δα]δούχου θεοῦ κρίσις εἰσὶν, αἱ [λαμ]πραὶ καὶ διαυγεῖς, αἷς ἔ[θο]ς μέσον
τῶν διχοτομη[μά]των, [λέγω δὲ τ]ῶν ἐνα[ντιο]τή[των, ἐξ ὧν ἅπας ὁ κόσμος συνέστηκε, διάγειν.
λέγεται γὰρ, λαμπάδες πυρὸς, αἳ διῆλθον μέσον τῶν δι]χοτο[μημά]των, ἵνα γν[ῷς, ὅτι αἱ θεῖαι Pag. LV.
δ]υνάμεις [διὰ μέσων καὶ πραγ]μάτω[ν καὶ σωμάτων ἰοῦ]σαι, φθε[ίρουσι μὲν οὐδὲ]ν. μείνει 10
[γὰρ ἀπαθῆ τὰ δι]χοτομήματα, [διαιροῦσι] δὲ καὶ διαστέλ[λουσι σφό]δρα καλῶς τὰς [ἑκάστων
φ]ύσεις. τῆς οὖν τῶν [εἰρημένω]ν ἐπιστήμης κληρονόμος δ]εόντως ἀποδεί[κνυται ὁ σο]φὸς. ἐν
γὰρ τῇ ἡμέ[ρᾳ, φησὶ, ἐκείνῃ διέθετο κύριος [τῷ Ἀβραὰμ συνθή]κην [λέγ]ων· [τῷ σπέρματί σου
δ]ώσω τὴν [γῆν ταύτην. π]οίαν ἢ δηλοῖ, [εἰ μὴ τὴν προειρ]ημένην, ἐφ' ἣν [ποιεῖται τὴν ἀ]να-
φορὰν, ἧς [ἐστὶν ὁ καρπὸς κ]ατάληψις [ἀσφαλὴς καὶ β]εβαία τῆς τοῦ [θεοῦ σοφίας, καθ'] ἣν 15
τὰ σύμπαντα [τοῖς τομεῦ]σιν ἑαυτοῦ διαφυλάττει ἀπαθῆ τὰ ἀγαθὰ κακοῦ, κατὰ τὰ ἐπὶ τοῖς
τὴν γένεσιν ἀφθάρτοις. εἶτ' ἐπιλέγει, ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου, ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου
ποταμοῦ Εὐφράτου, δηλῶν, ὅτι οἱ τέλειοι τὰς μὲν ἀρχὰς ἔχουσιν ἀπὸ σώματος καὶ αἰσθήσεως,
καὶ τῶν ὀργανικῶν μερῶν, ὧν ἄνευ ζῆν οὐκ ἔνεστι, χρήσιμα γὰρ πρὸς τὴν ἐν τῷ μετὰ σώμα-
[το]ς βίῳ παιδείαν, τὰ δὲ [τέλ]η ἐπὶ τὴν τοῦ θεοῦ σοφίαν, [τὸν μέγαν ὡ]ς ἀληθῶς πο[ταμὸν, 20
χαρᾶς καὶ] εὐφρο[σύνης καὶ τῶν ἄλλων] πλη[μμυροῦντα ἀγαθῶν. οὐ γὰρ, ἀπὸ τοῦ ποταμοῦ
Εὐφράτου ἕως τοῦ Ἀιγύπτου ποταμοῦ, τὴν χώ]ραν περιέγραψεν, ο[ὐ γὰρ] ἂν ἀρετὴν εἰς τὰ
σωματι[κὰ] πάθη κατεβίβασεν, ἀλλ' ἔμπαλιν, ἀπὸ τοῦ Αἰγύπτου ἕως τοῦ μεγάλου Εὐφράτου.
ἀπὸ γὰρ τῶν θνητῶν αἱ βελτειώσεις γείνονται πρὸς τὰ ἄφθαρτα.

ΦΙΛΩΝΟϹ ΠΕΡΙ ΤΟΥ ΤΙϹ Ο ΤΩΝ ΘΕΙΩΝ ΕϹΤΙΝ ΚΛΗΡΟΝΟΜΟϹ Η ΠΕΡΙ ΤΗϹ ΕΙϹ ΤΑ ΪϹΑ ΚΑΙ ΕΝΑΝΤΙΑ ΤΟΜΗϹ

2. καὶ ἂν εἰ. — 3. καταλαβεῖν. — 5. Om. συγκραταιοῦν. — 7. κρίσις pour κρίσεις. — μέσαις. — 13. συνέθετο. — 14. ποίαν γῆν δηλοῖ. — 15. Pap. καλαλημψις. — βεβαιοτάτη. — 16. Pap. om. de κακοῦ à αἰσθήσεως inclus. — 19. ἔστι. — 21. τ. ἄλλ. ἀγ. πλημ. — 22. Αἰγυπτίου. — 24. οἰκειώσεις au lieu de βελτ.

ΦΙΛΩΝΟϹ

ΠΕΡΙ ΓΕΝΕϹΕΩϹ ΑΒΕΛ ΚΑΙ ΩΝ ΑΥΤΟϹ ΤΕ ΚΑΙ Ο ΑΔΕΛΦΟϹ ΙΕΡΟΥΡΓΟΥϹΙ

TRAITÉ RÉÉDITÉ D'APRÈS UN PAPYRUS DU VIe SIÈCLE ENVIRON

PAR

V. SCHEIL O. P.

Καὶ [1] προσ[έθηκε τεκεῖν] τὸν ἀδελφὸν αὐτοῦ [τὸν Ἄ]βελ · ἥ τινος πρόσθεσις [ἀ]φαίρεσίς ἐστιν Pag. LVI.
ἑτέρου ὡς ἀριθμητικῆς μωρίων καὶ ψυχῆς λογισμῶν · εἰ δὴ τὸν ἄβελ προστίθεσθαι φατέον
τὸν Κάϊν ἀφαιρεῖσθαι νομισταίον · ἵνα δὲ μὴ τὸ τῶν ὀνομάτων ἀσύνηθες ἐπισκοτῇ πολλοῖς.
τὴν ἐμφαινομένην φιλοσοφίαν ἀκρειβοῦν ὡς ἂν οἷόν τε ᾖ πειρασόμεθα · δύο τοίνυν δόξας εἶναι
συμβέβηκεν ἐναντίας διαμαχομένας ἀλλήλαις τὴν μὲν τῷ νῷ πάντα ἐπιγράφουσαν ὡς ἡγεμόνι 5
τῶν ἐν τῷ λογίζεσθαι ἢ αἰσθάνεσθαι ἢ κινεῖσθαι ἢ ἴσχεσθαι · τὴν δὲ τῷ θεῷ ἑπομένῳ δημιουρ-
γίαν οὖσαν αὐτοῦ. τῆς μὲν προτέρας ἐκτύπωσίς ἐστιν ὁ Κάϊν καλούμενος κτῆσις · παρὰ τὸ
πάντα κεκτῆσθαι δοκεῖν · τῆς δὲ ἑτέρας ὁ Ἄβελ · ἑρμηνεύεται γὰρ ἀναφέρων ἐπὶ θεόν ἀμφο-
τέρας μὲν οὖν τὰς δόξας ὠδίνει μία ψυχή · ἀνάγκη δὲ αὐτὰς ὅταν ἀποκυηθῶσιν διακριθῆ-
ναι · συνοικεῖν γὰρ πολέμους ἄχρι [παντὸς ἀμή]χανο[ν ἕως μὲν οὖν οὐκ ἔτεκεν ἡ ψυχὴ τὸ 10
φιλό]θεον δόγμα τὸ[ν Ἄβελ διῃτᾶτο ὁ φίλ]αυτος [Κάϊν αὐτῇ ὁπότε δὲ τ]ὴν πρ[ὸς]..... τὸ Col. b.
[αἴτιον] ὁμολογίαν ἐγέννησεν τὴν πρὸς τὸν δοκη[σίσο]φον νοῦν ἐξέλιπεν δηλώσει [δὲ] ἐναργέ-
στερον ταῦτα καὶ τὸ τῇ ὑπομονῇ χρησμωδηθὲν Ῥεβέκκα · τὰς γὰρ μαχομένας δ[ύο] φύσεις
ἀγαθοῦ καὶ κακοῦ συλλαβοῦσα κἂν ἑκατέραν ἄκρως φαντασιωθεῖσα κατὰ τὴν τῆς φρονήσεως
ἐπικέλευσιν ἀνασκιρτώσ[ας] α[ὐτὰ]ς ἰδοῦσα · καί τινος τοῦ μέλλοντος πολέμου δι' ἀκροβολισμοῦ 15
προαγῶνα ποιουμένας ἱκετεύει τὸν θεὸν τί τέ ἐστιν τὸ πάθος αὐτῇ παραστῆσαι · καὶ τίς ἂν
ἴασις αὐτοῦ γέν[οιτ]ο [ὁ δὲ] πυνθανομένῃ φησὶ δύο ἔθνη ἐν τῇ γαστρὶ σοῦ ἔστιν τὸ μὲν
πάθος τοῦτο ἀγαθοῦ καὶ κακοῦ γένεσις · ἀλλὰ καὶ δύο λαοὶ ἐκ τῆς κοιλίας σοῦ διασταλή-
σονται · ἡ ἴασις ἥδε · διασταλῆναι καὶ χωρισθῆναι ταῦτα ἀλλήλων καὶ μηκέτι τὸν αὐτὸν
χῶρον οἰκῆσαι προσθεὶς οὖν ὁ θεὸς τῇ ψυ[χῇ] καλὸν δόγμα [τὸν Ἄβελ ἀφεῖλεν α]ὐτῇ δόξ[αν 20
ἄτοπον] τὸν [Κάϊ]να [καὶ γὰρ] Ἀβραὰμ ἐκλιπὼν τὰ [θνητὰ] προστίθεται [τῷ θεοῦ λαῷ καρ]- Pag. LVII
πούμενος ἀφ[θαρσίαν ἴσος] ἀγγέλο[ις γεγονώς ἄγγελοι γὰρ] στρατός εἰσιν θεοῦ [ἀσώματοι καὶ
εὐ]δαίμονες ψυχαί ὅ τε ἀσκητὴς τὸν αὐτὸν τρόπον Ἰακὼβ λέγεται προστίθεσθαι τῷ βελτίωνι
ὅτε ἐξέλιπεν τὸ χεῖρον ὁ δὲ αὐτομαθοῦς ἐπιστήμης ἀξιωθεὶς Ἰσακ ἐκλίπειν μὲν καὶ αὐτὸς
ὅσον σωματοειδὲς αὐτοῦ τῇ ψυχῇ συνύφανται προστίθεται δὲ καὶ προσκληροῦται οὐκέθ' ὡς 25
οἱ πρότεροι λαῷ · γένει δὲ [καθά]περ φησὶν Μωϋσῆς γένος [μὲν] γὰρ ἐν τῷ ἀνωτάτῳ λαὸς
[δὲ ὄ]νομα πλειόνων ὅσοι μὲν οὖν μαθήσει καὶ διδασκαλίᾳ προκόψαντες ἐτελειώθησαν προσ-
κληροῦνται πλείοσιν · οὐ γὰρ ὀλίγος ἐστὶν ἀριθμὸς τῶν ἐξ ἀκοῆς καὶ ὑφηγήσεως μανθά-
νόντων οὓς λαὸν ὠνόμασεν · οἱ δὲ ἀνθρώπων ὑφηγήσεις ἀπολελοίποτες μαθηταὶ δὲ εὐφυεῖς

1. Om. τὸν Ἄβελ. — 3. Om τὸν (K.). — 3. Pap. επισκοπη. — 5. ἐν. καὶ μαχομένας. — Pap. αλλληλαις. — ἐπιτρέπουσαν. — 6. ἑπομένην. — Pap. om. δημ. οὖσ. αὐτ. — 7. Om. ὁ. — ἐπικαλούμενος. — παρὰ τὸ τὰ π. — 10. πολέμιοις. — Pap. τὸν φιλ. (fréquent). — 11. ἐνδιῃτᾶτο. — Pap. φιλαυτον. — De πρὸς à τὸ probablement érasure. — 13. καὶ γὰρ τὰς μαχ. — 14. καὶ ἑκατ. — τινα. — ἀκροβολισμῶν. — 19. Om. ἡ. — ἀπ' ἀλλήλ. — 20. αὐτῆς. — 21. Κάϊν. — 23. Om. λέγεται. — προστίθεται. — 24. ἐκλείπει. — 25. συνύφαστο. — 26. τὸ ἀνωτάτω. — 28. οὐδὲ γὰρ. — 29. ἀνθ. μὲν ὑφ. — Pap. ἀπελελ. — θεοῦ εὐφ.

1. La ponctuation est celle du manuscrit.

θεοῦ γεγονότες τὴν ἄπονον ἐπιστήμην ἀνειληφότες εἰς τὸ ἄφθαρτον καὶ τελεώτατον γένος
μετανίσταν[ται καθὰ ὅλων ἀμείνω [τῶν] προτέρων ἐνδε[δηγμένοι] ὧν ὁ Ἰ[σακ δια]σώτης
Col. b. [ἀν]ωμολόγ[ηται δ]η[λοῖ δὲ καὶ ἕτερον τ]οιοῦτον.... (quatre lignes laissées en blanc).
νοῦν ἀθάνατον εἰσὶν δὲ οὓς ἀνωτέρω προαγαγὼν εἴδη μὲν καὶ γένη πάντα ὑπερπτῆναι παρε-
σκεύασεν ἵδρυσεν δὲ πλησίον ἑαυτοῦ καθὰ καὶ Μωϋσῆς ᾧ φησὶν σὺ δὲ αὐτοῦ στῆθι μετ'
ἐμοῦ ἡνίκα γοῦν τελευτᾶν ἔμελλεν οὗτος οὐκ ἐκλίπων προστίθεται ὥσπερ οἱ πρότεροι · μήτε
πρόσθεσιν μήτε ἀφαίρεσιν κεχωρηκὼς ἀλλὰ διὰ ῥήματος τοῦ αἰτίου μετανίσταται · δι' οὗ
καὶ ὁ σύμπας κόσμος ἐδημιουργεῖτο · ἵνα μάθῃς ὅτι τὸν σοφὸν ἰσότιμον κόσμῳ ὁ θεὸς ἤγει-
ται · τῷ αὐτῷ λόγῳ καὶ τὸ πᾶν ἐργαζόμενος καὶ τὸν τέλειον ἀπὸ τῶν περιγείων ἀνάγων
ὡς ἑαυτόν · οὐ μὴν οὐδε ὅτε τοῖς περιγείοις χρήσας αὐτὸν ἴασεν ἐνομειλεῖν ἄρχοντος ἢ βασι-
λέως κοινήν τινα ἀρετὴν ἀνάπτεν αὐτῷ καθ' ἣν ἀνὰ κράτος ἡγεμονεύσει τῶν τῆς ψυχῆς
Pag. LVIII. παθῶν · ἀλλ' εἰς θεὸν αὐτὸν ἐχειροτόνει πᾶσα[ν τὴ]ν περὶ τὸ σῶ[μα χώραν] καὶ τὸν [ἡγε-
μόνα αὐτῆς νοῦν] ὑπήκοα καὶ δοῦ[λα ἀποφήνας] δίδωμι γάρ σε φησὶν θεὸν [Φαραώ] θεὸς
δὲ ἔλλιψιν ἢ πρόσθε[σιν] οὐκ ἀνέχεται · πλήρης καὶ ἰσαίτατος ὢν ἑαυτῷ · παρ' ὃ καὶ τὴν
ταφὴν λέγεται μηδὲ εἷς εἰδέναι τούτου · τίς γάρ ἂν γένοιτο ἱκανὸς τὴν πρὸς τὸν ὄντα μετα-
νάστασιν ψυχῆς τελείας κατανοῆσαι · οὐδὲ αὐτὴν οἶμαι τὴν τοῦτο ὑπομένουσαν εἰδέναι τὴν
βέλτειωσιν αὐτῆς · ἅτε κατ' ἐκεῖνον τὸν χρόνον ἐπιθειάζουσαν · τῷ γὰρ εὖ πάσχοντι συμβούλῳ
ὁ θεὸς περὶ ὧν μέλλει χαρίζεσθαι οὐ χρῆται · μὴ προλαβόντι δὲ τὰς εὐεργεσίας ἀφθόνους
εἴωθεν ὀρέγειν · τοιοῦτόν ἐστιν τὸ προσθεῖναι θεὸν γένεσιν ἀγαθοῦ τελείου διανοίᾳ · τὸ δὲ ἀγα-
θὸν ὁσιότης ἐστίν · ἧς ὄνομα Ἄβελ · καὶ ἐγένετο Ἄβελ ποιμὴν προβάτων · Κάϊν δὲ ἦν ἐργα-
ζόμενος τὴν γῆν · τί δή ποτε πρεσβύ[τερον] εἰσαγαγὼν [τοῦ Ἄβελ τὸν Κάϊν νῦν τῇ τάξει
Col. b. μετατέθεικεν ὡς τοῦ] νεω[τέρου δια]μεμνῆ[σθ]αι πρότερον [κα]τὰ τὴν [τῶν βίων] προέρεσιν
εἰκὸς [γὰ]ρ ἦν [τὸ]ν πρεσβύτατον πρότερον ἐπὶ γεωργίαν [ἐλθεῖν] τὸν δὲ νεώτερον αὖθις [ἐπὶ]
τὴν τῶν θρεμμάτων ἐπιμέλειαν ἀλλὰ γὰρ οὐ τὰ ἐοικότα καὶ πειθανὰ Μωϋσῆς ἀσπάζεται ·
τὴν δὲ ἀλή[θειαν] ἀκραιφνῆ μεταδι[ώκει καὶ ὅ]ταν γενόμενος ἰ[δίᾳ θεῷ] προσέρχητ[αι μετὰ
παῤῥησί]ας φησὶν μὴ [εἶναι εὔλογος ἴσον τῷ μὴ [τῶν εὐλόγων] καὶ πιθανῶν [ἐφίεσ]θαι [πε]-
ποιθέναι δὲ [τοῦτο] πρὸ [τῆς] ἐχθὲς καὶ τρίτης ἀφ' οὗ τὸν θεὸν ἄρξασθαι διαλέγεσθαι ὡς
θεράποντι αὐτῷ · τοῖς μὲν γὰρ εἰς τὸν τοῦ βίου σάλον καὶ κλύδωνα παρεληλυθό[σιν] ἐπινη-
χομένοις ἀνάγκη φορεῖσθαι · μηδενὸς ἐχυροῦ τῶν ἐπιστήμης ἐνειλημμένοις εἰκότων δὲ καὶ
πιθανῶν ἠρτημένοις τῷ δὲ θεοῦ θεραπευτῇ. πρεπῶδες ἀληθείας περιέχεσθαι · θνητῶν εὐλόγων
εἰκαστικὴν καὶ ἀβέβαιον μοιθοποιΐαν [χ]αίρειν ἐῶ[ντι] τί οὖν καὶ [τὸ ἐν τού]τοις [ἀληθ]ές

1. τελειώτατον γένος μεταν., κλῆρον ἀμείνω προτέρων τῶν ἐν γενέσει βίων ἐνδεδεγμένοι... — 3. Pap. [δ]ου[λοι]. — Pap. ην θανατον. — προάγων. — 5. ἱδρύσας. — Μωϋσῆ φησι om. ᾧ. — 6. Om. οὗτος. — 8. (ὁ θ.) ἤγαγε. — 10. Pour εἴασεν. — 11. ἀνῆπτεν. — 16. Pap. μεταναστην. — 19. εἴωθ. ἀφθ. ὀρέγ. — τελεία. — 22. μεμνῆσθαι. — αἵρεσιν. — 23. τὸ μὲν πρεσβύτερον. — εἰς γεωγρ. — 24. εἰκότα. — 25. ὅταν γε μόνος ἰδ. τῷ θεῷ. — 27. Ἐθὲς ἢ τρίτ. — 29. ὀχυροῦ τῶν ἐντὸς ἐπιστ. — Pap. om. εἰκότ... ἠρτημένοις. — 30. περιέχ. τὴν τῶν εὐλόγων... — 31. Turn. εἰπόντι.

κακί[αν ἀ]ρετῆς χρ[όνῳ] μὲν [εἶναι] πρεσβυτέραν δυν[άμει δὲ] καὶ ἀξιώμα[τι νε]ωτέραν ὅταν Pag. LIX.
μὲν [οὖν ἡ γένε]σις ἄμφοῖν εἰσάγηται [προεκτ]ρεχέτω ὁ Κάϊν ὅταν δὲ ἐπιτηδεύσεων σύγκρι-
σις ἐξετάζηται. φθανέτω ὁ Ἄβελ · γενομένῳ γὰρ τῷ ζώῳ συμβέβηκεν εὐθὺς ἔτ' ἐκ σπαργά-
νων ἄχρι ἂν ἡ νεωτεροποιὸς ἀκμῆς ἡλικία τὸν ζέοντα φλο[γμὸν τῶ]ν παθῶν σβεσθῇ. συν-
[τρόφου]ς ἔχειν ἀφροσύνην ἀκο[λασίαν] ἀδικίαν φόβον δειλίαν [τὰς ἄλλας συγ]γενεῖς κῆρας ὧν
[ἑκάστην ἀνα]τρέφουσιν καὶ συνάξουσιν τιθθαὶ καὶ παιδαγωγοὶ καὶ ἐθῶν καὶ νομίμων · εὐσέ-
βειαν μὲν ἐλαυνόντων δεισιδαιμονίαν δὲ πρᾶγμα ἀδελφὸν ἀσεβείᾳ κατασκευαζόντων εἰσηγήσεις
καὶ θέσεις · ὅταν δὲ ἤδη παρηβήσῃ καὶ ἡ τῶν παθῶν παλμώδης νόσος χαλάσῃ καθάπερ
νηνεμίας ἐπιγεινομένης ἀρχέσεταί τις γαλήνην ἄγειν · ὀψὲ μόγεις βεβαιότητι ἀρετῆς ἱδρυ-
θεὶς · ἢ τὸν ἐπάλληλον καὶ συνεχῆ σεισμὸν βαρύτατον κακὸν ψυχῆς ἐπράϋνεν · οὕτως μὲν
δὴ τὰ χρόνου πρεσβεῖα οἴσεται κακία · τὰ δὲ ἀξιώματος καὶ τιμῆς καὶ εὐκλε[ίας ἡ ἀρετὴ]
πιστὸς δὲ [τούτου μάρτυς ὁ νο]μοθέτη[ς αὐτὸς τὸν γὰρ ἀφρο]σύνης [ἐπώνυμον Ἠσαῦ] εἰσαγα-
γὼν [χρόνῳ πρεσβύτερον τῷ γενέσει μὲν νεωτ]έρῳ [ἐπωνύμῳ δὲ ἀσκήσε]ως [τῶν καλῶν Ἰακὼβ Col. b.
χα]ρίζεται τὰ πρεσβεῖα ὁ δὲ οὐ πρότερον αὐτὰ φέρεσθαι διαγνώσεται ἢ καθάπερ ἐν ἀγῶνι
τὸν ἀντίπαλον ἀπειπεῖν · γεῖρας ὑπ' ἀσθενείας καθέντα καὶ τὰ βραβεῖα καὶ τὸν στέφανον παρα-
χωρῆσαι τῷ πόλεμον ἄσπονδον καὶ ἀκήρυκτον πρὸς τὰ πάθη πεποιημένῳ · ἀπέδοτο γὰρ φησὶν
τὰ πρωτοτόκεια τῷ Ἰακὼβ · ὁμολογήσας ἄντικρυς ὅτι τὰ δυνάμει πρῶτα καὶ κατ' ἀρετὴν
τίμια. φαύλου μέν ἐστι οὐδενὸς · μόνου δὲ τοῦ σοφίας ἐραστοῦ · καθάπερ καὶ αὐλὸς καὶ
λύρα καὶ τἄλλα μουσικῆς ὄργανα μόνου τοῦ μουσικοῦ · περὶ δὲ τοῦ δόγματος τούτου καὶ
> νόμον ἀναγράφει παγκάλως καὶ συμφερόντως τιθείς · ἔχει δὲ ὧδε · — ἐὰν γένωνται ἀνθρώπῳ
> δύο γυναῖκες ἡ μία αὐτῶν ἠγαπημένη καὶ μία μεισουμένηι καὶ τέκωσιν αὐτῷ ἡ ἠγαπη-
> μένη καὶ ἡ μεισουμένηι καὶ γένηται ὁ υἱὸς τῆς μεισουμένης πρωτότοκος [καὶ] ἔσται ἐν
> τῇ ἡμέ[ρᾳ ᾗ ἂν κληροδοτῇ τὰ ὑπάρχοντα τοῖς υἱοῖς αὐτοῦ οὐ δυνήσεται πρωτοτοκεῦσαι]
> τῷ υ[ἱῷ τῆς ἠγαπημένης] ὑπεριδὼν τὸν υἱὸν τῆς μεισουμένης τὸν πρωτότοκον] ἀλλ[ὰ τὸν] Pag. LX.
> πρωτό[τοκον υἱὸν] τῆς μεισουμένης ἐπιγνώσεται δοῦναι αὐτῷ διπλᾶ ἀπὸ πάντων ὧν ἂν
> εὑρεθῇ αὐτῷ ὅτι οὗτός ἐστιν ἀρχὴ τέκνων αὐτῷ καὶ τούτῳ καθήκει τὰ πρωτοτόκεια ·
ἐπίγνωθι ὦ ψυχὴ καὶ γνώρισον τίς ἐστιν ἡ μεισουμένη καὶ τίς ὁ τῆς μεισουμένης υἱός. καὶ
εὐθὺς αἰσθήσει ὅτι ἄλλῳ μὲν οὐδενεὶ · μόνῳ δὲ τούτῳ καθήκει τὰ πρεσβεῖα · δύο γὰρ ἡμῶν
ἑκάστῳ συνοικοῦσιν γυναῖκες αἰχθραὶ καὶ δυσμενεῖς ἀλλήλαις · τῶν ζηλωτυπίας τὸν ψυχικὸν
οἶκον ἀναπιπλᾶσαι φιλονικιῶν · τούτων τὴν μέν ἑτέραν ἀγαπῶμεν · χειροήθη καὶ τιθασὸν καὶ
φιλτάτην καὶ οἰκειοτάτην αὐτοῖς νομίζοντες · καλεῖται δὲ ἡδονή · τὴν δὲ ἑτέραν ἐχθαίρο-

2. Pap. προεκτρεχετο. — 4. ἄχρις. — Pap. ηλικιαν. — σβέσειε. — 6. συναυξάνουσι τιτθοί. — παιδ. διὰ ἐθῶν. — 7. εἰσηγήσεσιν. Om. καὶ θέσεις. Turn. εἰσηγήσεις sinè add. — 9. ἄρχεταί τις. — ὀψὲ καὶ μόλις βεβ. — 10. οὕτω. — 15. καταθέντα. — 16. Pap. απεδετο. — 18. Om. ἔστι. — 19. Pap. ταλλλα. — 20. πάνυ καλῶς. — ἐὰν δέ. Ce tiret est du manuscrit. — 21. καὶ ἡ μία. — 24. ἀλλὰ τὸν υἱὸν τῆς μισ. τὸν πρωτ. ἐπιγν. — 26. τέκν. αὐτοῦ. — 28. Pour αἰσθήσῃ. — Ce qui suit (δύο γάρ) se retrouve encore dans le traité de Philon, περὶ τοῦ μίσθωμα πόρνης εἰς τὸ ἱερὸν μὴ προσδέχεσθαι. Voir Préface. — 29. ἐχθραί. — 30. Pap. χειροῆθη. — 31. ἐχθραίνομεν.

μεν · ἀτίθασον · ἀνήμερον · ἐξηγριωμένην · πολεμιωτάτην ἡγούμενοι · ὄνομα δὲ καὶ ταύτης
ἐστὶν ἀρετή · ἡ μὲν οὖν προσέρχεται πόρνης καὶ χαμαιτύπης τὸν τρόπον τεθρυμένηι κεκλασ-
μένῳ τῷ βαδίσματι ὑπὸ τρυφῆς τῆς [ἄγα]ν [καὶ] χλιδῆς σα[λεύουσα] τὼ ὀφ[θαλ]μὼ [οἷς
Col. b. τὰς τῶν νέων ἀγκιστρεύεται ψυχὰς θάρσος μετ' ἀναισχυντίας] ἐμβλ[έπουσα τὸν αὐχένα ἐπαί-
5 ρο]υσα πλέον τῆς φύσεως ἑαυτὴν ἐνορθιάζουσα σεσαρυῖα καὶ κιχλίζουσα περιέργῳ ποικιλίᾳ
τὰς τῆς κεφαλῆς τρίχας ἀναπεπλεγμένη · ὑπογεγραμμένη. τὴν ὄψιν ἐγκεκαλυμμένη τὰς ὀφρῦς
θερμολουσίαις ἐπαλλήλοις χρωμένη ἐρευθὲς [εἰργασμένη] πολυτελεῖς ἐσθῆτας [ἐπην]θισμένας
ἄκρως]ἀμ]πεχ[ομέ]νη · περιβραχειόνια καὶ πε[ρι]αυχένια καὶ ὅσα ἄλλα χρυσοῦ καὶ λίθων
πολυτε[λῶν] δημιο[υρ]γηθέντα κόσμος ἐστὶν γυναικός · περικαθημένη [μ]ύρων εὐωδεστάτων
10 ἀποπνέουσα τὴν ἀγορὰν οἰκίαν νομίσουσα · τριοδῖτις σοβὰς χήτει γνησίου κάλλους τὸ νόθον
με[τα]διώκουσα · συ[νομαρ]τοῦσι δὲ αὐτῇ τῶν συνηθ[εσ]τάτων πανουργεία προπέτεια ἀπιστεία
κολακεία φενακισμὸς ἀπάτη ψευδολογεία ψευδορκία ἀσέβεια ἀδικία ἀκολασία ὧν ἐν μέσῳ καθά-
περ ἡγεμὼν χωροῦ στᾶσα φησὶν πρὸς τὸν [νοῦν τά]δε εἰσὶν ὃ οὗτος θησ[αυροὶ πάντων] ἀγα-
Pap. LXI. θῶν [ὅσα ἀνθρώπεια] παρ' ἐμο[ὶ τὰ γὰρ θεῖα ἐν οὐ]ρανῷ · ὧν [ἐκτὸς οὐδὲν εὑρήσεις τούτους
15 ἣν ἐθέλεις μοι συνοικεῖν τοὺς θησαυροὺς ἀναπετάσατα] χρῆσιν καὶ [ἀπόλ]αυσιν τῶν ἐνόντων
ἀφθονωτάτην εἰσαεὶ παρέξω · βούλομαι δέ σοι προειπεῖν τὸ πλῆθος τῶν ταμειευομένων [ἀγα]-
θῶν ἵνα κἂν αἰνῇς · ἑκὼν [ἀσμε]νίζῃς · κἂν ἀποστρέφῃ μὴ ἀγνοῶν ἀρνῇ · ἄνεσίς ἐστιν παρ'
ἐμοί · καὶ ἄδεια · καὶ ἐκεχηρεία · καὶ πόνων ἀμελετησία · καὶ χρωμάτων ποικιλία · καὶ
κλάσεις ἐμμελέσταται φωνῆς · σιτία πολυτελῆ καὶ ποτὰ ὀσμῶν ἡδίστων παμπληθεῖς διαφο-
20 ραί · συνεχεῖς ἔρωταις · ἀπαιδαγώγητοι παιδειαί · μείξεις ἀνεξέταστοι ἀνουθέτητοι λόγοι ·
ἔργα ἀνυπεύθυνα · ἀφρόντιστος βίος · μαλακώτατος ὕπνος · κόρος ἀπλήρωτος · ἐὰν οὖν ἐθε-
λήσῃς σὺν ἐμοὶ ποιεῖσθαι τὰς διατριβὰς ἐκ πάντων εὐτρεπίσασά σοι τὰ ἁρμόζοντα δωρήσομαι ·
συνεπισκοποῦσα τί ἂν φαγὼν ἢ πιών. γανωθείης · ἢ τί τοῖς ὀφθαλμοῖς ἰδὼν ἢ τοῖς ὠσὶ ἀκού-
σας ἢ μυκτῆρσι ὀσφρόμενος ἡσθε[ίης ἐλλείψει δὲ οὐδὲν ὧν ἂν ἐπιθυμήσῃς πλ]είω [γὰρ τῶν
Col. b. 25 ἀναλισκομένων εὑρήσεις τὰ γεννόμενα. φυτὰ γάρ ἐστιν ἐν τοῖς λεχθεῖσι θησαυροῖς ἀειθαλῆ
βλ]αστάνοντα καὶ τίκτον[τα] καρποὺς ἐπαλλήλους · ὡς τὴν τῶν ὡραίων καὶ νέων ἀκμὴν ἐπι-
τρέχειν καὶ καταλάμβανειν τοὺς ἤδη πεπανθέντας πόλεμος οὐδὲ εἷς ἐμφύλιος ἢ ξενικὸς τὰ
φυτὰ ταῦτα πώποτε ἔτεμεν · ἀλλ' ἀφ' οὗ πρῶτον αὐτὰ γῆ παρέλαβεν ὥσπερ ἀγαθὴ τρόφος.
τιθηνεῖται · ῥίζας μὲν οἱονεὶ θεμελίους εἰς τὸ κάτω βαλλομένη κραταιοτάτας τὰ δὲ ὑπὲρ
30 γῆς ἔρνος οὐρανόμηκες ἀνατείνασα · κλάδους δὲ ἐκφύσασα. τῶν ἐν ζώοις χειρῶν καὶ ποδῶν

Ce qui suit (ἡ μὲν οὖν) n'est pas reproduit (du περὶ τοῦ μίσθωμα...) dans les manuscrits, au traité περὶ γενέσεως Ἄβελ καὶ ὧν αὐτός τε καὶ ὁ ἀδελφὸς ἱερουργοῦσι, excepté au Cod. August. Voir notes de Hæschel (Éd. Turn. Paris, 1640) au traité. περὶ τοῦ μίσθωμα... — 7. ἔρευθος. — 8. Pap. περιβραχειον. — 9. γυναικεῖος. — 10. νομίζουσα. — σεβας, fautif. — Pap. τον νοθον, err. fréquente. — 11. Om. ἀπιστεία. — 12. Pour ψευδορκία : ψευδοδοξία. — 13. χοροστατοῦσα. — 17. συναινῇς. — 19. σιτία τε πολ. — 20. Pour ἔρωτες. — 21. ἄφροντις. — 22. ἐκ πάντων ὧν εὐτρέπισά σοι. Turn. d'accord avec Pap. — 23. τί πιών. — 24. ὀσφραινόμενος. — 30. ποδῶν ἀναλογοῦντας μιμ. πέταλα.

ἐπάγοντα μειμήματα · πετάλῳ δὲ οἷον κόμας σκέπειν ἐν ταὐτῷ καὶ κόσμον ἐπανθῆσαι παρα-
σκευάσασα · καρποὺς δὲ ἐπὶ τούτοις · ὧν ἕνεκα κἀκεῖνα · τούτων ἀκούσασα ἡ ἕτερα · καὶ γὰρ
ἐν ἀποκρύφῳ μέν. ἐν ἐπηκόῳ δὲ ἱστήκει · δείσασα μήποτε λαθὼν ὁ νοῦς αἰχμάλωτος ἀνδρα-
ποδισθεὶς ἀπαχθῇ τοσαύταις δωρεαῖς · καὶ ὑποσχέσεσιν · ἔτι καὶ πρὸς τὴν ὄψιν ἐνδοὺς εὖ
καὶ ποικίλως ἐπὶ ἀπάτῃ τετεχνευμένῃ · διὰ γὰρ τῶν περιάπτων καὶ [μαγγανειῶν] ἔνυττεν 5
[ἐκήλει γαργαλισμὸν] ἐνειργά[ζετο. παρελθοῦσα ἐξαίφνης ἐπιφαίνεται ἐλευθέρας] καὶ ἀστῆς Pag. LXII.
προ[σφερομένη] πᾶν σταθερὸν βάδισμα [ἡρεμαιο]τάτην ὄψιν · χρῶμα καὶ τ[ὸ αἰδοῦς] καὶ τὸ
σώματος ἀκιβδήλευτον · ἀψευδὲς ἦθος · ἀνόθευτον βίον · ἀποίκιλον γνώμην · λόγον οὐ φένακα ·
διανοίας ὑγιοῦς · ἀληθέστατον μείμημα · σχέσιν ἄπλαστον · οὐ σεσοβεμένη · κείνησιν μετρίαν
ἐσθῆτα · τὸν χρυσοῦ τιμιώτερον φρονήσεως καὶ ἀρετῆς κόσμον · συνείποντο δὲ αὐτῇ εὐσέ- 10
βια · ὁσιότης · εὐσυνθεσία · κοινωνία · ἐχεθυμία · σωφροσύνη κοσμιότης · ἐγκράτεια πραΰ-
της · ὀλιγόδεεια · εὐκολία · διόρθωσις · εὐθυμία · χρηστότης · ἡμερότης · ἠπιότης · φιλανθρωπία ·
μεγαλοφροσύνη · μακαριότης · ἀγαθότης · ἐπιλίψει με ἡμέρα λέγοντα τὰ τῶν κατ' εἶδος ἀρε-
τῶν ὀνόματα · — αὗται παρ' ἑκάτερα στᾶσαι μέσην αὐτὴν ἐδορυφόρουν · ἡ δὲ σχῆμα τὸ σύνηθες
ἑαυτῇ λαβοῦσα λόγων ἤρξατο τοιῶνδε τὴν τερατουργὸν καὶ [μάχλον καὶ μυθολό]γον [εἶδον 15
ἡδονὴν τραγικώτερον ἐνεσκευασμέ]νην καὶ [λιπαρῶς θαμινά σοι] προσ[ομιλοῦσαν · ὥστε εἰμὶ Col. b.
γὰρ μισοπόνηρος] φύσει [δείσασα μὴ λάθῃς ἀπατηθεὶς καὶ συναινέσας] κακοῖς μεγίστοις. ὡς
ὑπερβάλ]λουσιν ἀγαθοῖς [ἠξιώσα τὰ] προσόντα τῇ γυναικὶ μ[ετὰ] πάσης ἀ[ληθείας προειπεῖν]
ἵνα μηδὲν ἀγ[νοίᾳ τῶν συμ]φερόντων ἀπωσά[μενος ἀ]βούλητον ἐμπορεύσῃ · [κακο]πραγίαν ·
τὴν μὲν οὖν [σκευ]ὴν ᾗ κέχρηται πᾶσαν ἀλλοτρίαν ἴσθι τῶν γὰρ εἰς γνήσιον κάλλος οὐδὲν 20
οἰκεῖων ἐξ ἑαυτῆς ἐπιφέρεται περιῆπται δὲ δίκτυα καὶ πάγας ἐπὶ τῇ σῇ θήρᾳ · νόθην καὶ Pag. LXIII.
κίβδηλον εὐμορφίαν ἃ προειδόμενος ἦν εὖ φρονῇς ἀτελῆ τὴν ἄγραν αὐτῇ προσκευάσεις ·
ὀφθαλμούς. μὲν γὰρ φανεῖσα · ἡδύνῃ ὦτα φθεγξαμένη · λιγαίνει · ψυχὴν δὲ τὸ πλείστου ἄξιον
κτῆμα καὶ διὰ τούτων καὶ τῶν ἄλλων ἁπάντων μερῶν πέφυκε λυμαίνεσθαι · τῶν δὲ περὶ ἑαυ-
τοῦ ἃ μὲν ἔμελλεν ἀκούσαντί σοι προσηνῆ γεννήσεσθαι διεξῆλθε · τὰ δὲ ἄλλα ὅσα μὴ 25
ῥᾳστώνην εἶχεν ἀμύθητα ὄντα ἐθεθελοκακοῦσα ἐπεκρύψατο οἷς οὐκ [ἄν τινα] συναινέσειν [εὐχε]-
ρῶς προσεδό[κησεν · ἐγὼ δὲ καὶ ταῦτα ἀπαμφιάσασα] ἀναδείξω [καὶ οὐ μιμήσομαι τρόπους]
ἡδονῆς ὡς ὅσα μὲν ἐπαγωγά ἐστιν σὺν ἐμοὶ μόνα ἐπιδείξασθαι · τὰ δὲ ἔχοντα δυσκολίαν.
συσκιάσαι καὶ περιστεῖλαι · ἀλλὰ τοὐναντίον τὰ μὲν τέρψιν ἐξ ἑαυτῶν καὶ χαρὰν ἐνδι-
δόντα ἡσυχάσωι · εἰδυῖα ὅτι φωνὴν ῥήξει τὴν δι' ἔρρων τὰ δ' ἐπαχθῆ καὶ δυσυπομόνητα 30
κυρίως ἑρμηνεύσωι τοῖς ὀνόμασι γυμνοῖς · καὶ [μ]έσῳ τιθεῖσα αὐτὰ ὡς ἔγδηλοῦν τὴν ἑκά-
στου φύσιν καὶ τοῖς ἀμυδροῖς ὁρῶσι προφέ[ρε]σθαι · τῶν γὰρ ἡδονῆς μεγίστων ἀγαθῶν τὰ

1. Pap. σκεπην. — 2. παρασκ. σοι, καρπ. — 4. ἐνδιδούς. — 5. τεχνιτευμένη. — 7. παντα. — 9. οὐ σεσοβημένην κίνησιν, μετρίαν ἐσθῆτα. — 11. ἐχεμυθία. — πραότης. — 12. εὐκ. αἰδὼς, ἀπραγμοσύνη, ἀνδρία, γενναιότης, εὐβουλία, προμήθεια, φρόνησις, προσοχή, διόρθ. — 13. ἡ ἡμέρα. — 22. Pap. ευφροσυνης! — 23. Pour ἡδύνει. — ὦτα δέ. — 24. περὶ αὐτὴν ἅ... — 25. Pap. διεξελθον. — 28. ἔστ. ἐπαγωγά ἐν ἐμοί. — 30. Pour ἡσυχάσω. — 31. Richt. γυμνοῖς ἐν μέσῳ. Turn. γυμνὰ καὶ μ. — ὡς ἔκδηλον τ. — 32. ἀμυδρῶς.

παρ' ἐμοὶ μέγιστα δοκοῦντα εἶναι κακὰ [καλ]λίωι καὶ τιμιώτερα τοῖς χρωμένοις ἐξελειχθή-
σεται πρὶν δὲ περὶ τῶν ἰδίων ἄρξασθαι ὅσα ἂν δέχηται τῶν ὑπ' ἐκείνης ἡσυχασθέντων
ὑπομνήσω · εἰποῦσα γὰρ περὶ ὧν ἐθησαυρίσατο χρώματων · φωνῶν · ἁτμῶν · χυλῶν ·
ποιοτήτων · δυνάμεων · τῶν κατὰ ἁφὴν · καὶ πᾶσαν [αἴσ]θησιν · καὶ τῶν τῆς ἀκροάσεως
Col. b. 5 [ἐφη]δύνασα π[ροσαγωγὰς ἄ]λλας νόσους καὶ κῆρας ἑαυτῆς [οὐκ ἐμήνυσεν αἷς] ἐξ ἀ]νάγκης
ἐκεῖνα αἱρ]ούμενος [χρήσ]ῃ ἵνα αὔρᾳ τινὸς ὠφε[λεί]ας ἐπαρθεὶς ἐντὸς ἀκρούων [λη]φθῇς · ἴσθι
οὖν ὦ οὗτος ὅτι γενόμενος φιλήδονος παντέσει ταῦτα · πανοῦργος · θρασὺς . ἀνάρμοστος ·
ἀργαλέος · ἀκρόχολος · ἀνεπίσχετος · φορτικός · ἀνουθέτητος · ἄδικος · ἄνισος · ἀκοινώνητος ·
ἀσύμβατος · ἄσπονδος · πλεονέκτης · κακονομώτατος · ἄφιλος · ἄοικος · ἄπολις · στασιώδης ·
10 ἄτακτος · ἀσεβής · ἀνιέρος · ἀνίδρυτος · ἄστατος · ἀνοργίαστος · βέβηλος · ἐναγής · βωμολόχος ·
ἀλάστωρ · παλάμναιος · ἀνελεύθερος · ἀπότομος · θηριώδης · ἀνδραποδώτης · δειλός · ἀκόλαστος ·
ἄκοσμος · αἰσχρουργός · αἰσχροπαθής · ἀχρώματος · ἄμετρος · ἄπληστος · ἀλαζών · δοκησίσο-
φος · αὐθάδης · βάναυσος · βάσκανος · φιλεγκλήμων · δύσερις · διάβολος · χαῦνος · ἀπαταιών ·
ἀγύρτης · εἰκαῖος · ἀμαθής · ἀναίσθητος · ἀσύμφωνος · ἄπιστος · [ἄπει]θης · ἀφήνιαστὴς · γόης ·
Pag. LXIV. 15 εἴρ[ων · κέρκωψ ·] δυσυπονόητος · [δυσώνυμος · δυσεύρετ]ος · δύσφ[ευκτος · (ΞΔ) ἐξώ]λης · κα[κό-
νους · ἀσύμμετρος · ἀκαιρολόγος · μακρή[γορος · ἀδολέσχης · ἀερόμυθος · κόλαξ · νωθής · ἀπε-
ρίσκεπτος · ἀπροόρατος · ἀπρονόητος · ὀλίγωρος · ἀπαράσκευος · ἀπειρόκαλος · πλημμελής ·
σφαλλόμενος · διαπείπτων · ἀδιοίκητος · ἀπροστασίαστος · λίχνος · ἀγόμενος · διαρέων · εὐέν-
δοτος · δολιώτατος · διχόνους · δίγλωσσος · ἐπίβουλος · ἐνεδρευτικός · ῥᾳδιουργός · ἀδιώρθωτος ·
20 ἐνδεής · ἀεὶ ἀβέβαιος · ἀλήτης · ἑπόμενος φορᾷ · χρώμενος · εὐεπιχείρητος · ἐπιμανής ·
ἀψίκορος · φιλόζωος · δοξοκόπος · βαρυμήνις · βαρύσπλαγχνος · βαρύθυμος · βαρυπενθής ·
δυσόργητος · ψοφοδεής · ὑπερθετικός · μελλητής · ὕποπτος · ἄπιστος · δύσλυτος · καχοιπόνους ·
δύσελπις · ἀρίδακρυς · ἐπιχερέκακος · λελυπηκώς · περικεκομμένος · ἀδιατύπωτος · κακομήχα-
νος · αἰσχροκερδής · φίλαυτος · ἐθελόδουλος · ἐθέλεχθρος · δημοκόπος · δοξοκόπος · κακοικονό-
25 μος · σκληραύχην · θηλυδρίας · ἐξίτηλος · ἐκκεχυμένος · σκω[πτι]κός · τρώ[κτ]ης · ἠλίθιος
βαρυ[δ]αιμωνίας · ἐμπεφορημένος ἀκράτου. τοιοῦτα [μὲν οὖν] περικαλλοῦς καὶ περι[μαχήτου]
ἡδονῆς ἐστὶν [τὰ μ]εγάλα [μυστή]ρια · ἅπερ ἑκοῦσα ἀπεκρύψατο δέει τοῦ μὴ γνόντα σε

1. Pour καλλιω. — Pour τιμιώτ. — 2. ἐνδέχηται. — 4. καὶ τῷ τῆς ἀκρ. ἐφ. προσαγωγῷ, τὰς ἄλλας νόσ. — 7. Après ἀναρμοστος : ἄμικτος, δύσχρηστος ἔκθεσμος, ἀργαλ. — 9. Après στασιώδης, ἄπιστος de Richt. est abusif, puisqu'il se retrouve plus loin dans la série au même endroit que dans ce Pap. — 11. ἀνδραποδώδης. — 16. Après νωθής ; βαρυπενθὴς, δυσάλγητος, ψοφοδεής, ὑπερθετικός, ἀπερίσκ. — 18. ἀνευένδοτος. — 21. βαρυπ. δυσάλγητος (et non δυσόργητος) ψοφ. et ὑπερθ. sont portés plus haut après νωθής. — 22. δυσίατος pour δύσλ. Om. ἄπιστος qui précède. — 23. λελυττηκώς. — παρακεκομμένος. — 24. Om. δοξοκόπος. — 25. τρωτικός. — 26. Cette phrase τοιοῦτα μέν... et les deux suivantes terminent le traité περὶ τοῦ μίσθωμα... Par elles se continue le texte des autres manuscrits de notre traité, (la deuxième étant toutefois, à raison de toutes les suppressions, la première) et la troisième recevant les modifications suivantes : τῆς μὲν οὖν περικαλλοῦς καὶ περιμαχήτου ἡδονῆς τὰ μέγαλα μυστήρια τίς ἀγνοεῖ τῶν βροτῶν ; τῶν δὲ παρὰ τῇ ἀρετῇ θεσαυριζομένων ἀγαθῶν κ. τ. λ. δυνηθείη ;

ἀποστραφῆναι τὴν εἰς τὸ αὐτὸ σύνοδον αὐτῆς · τῶν δὲ παρ' ἐμοὶ θησ[αυ]ριζομένων ἀγα-
θῶν τὸ π[λῆθος] ἢ μέγεθος τίς ἂν ἀξίω[ς εἰ]πεῖν δύνηθῇ · ἴσασιν οἱ κ[εκοινω]νηκότες ἤδη ·
καὶ οἷς ἵλεω[ς ἡ] φύσις πάλιν γνώσονται [κλη]θέντες εἰς μετουσίαν θοίν[ης] οὐκ ἐξ ἧς αἱ
γαστρὸς ἡδοναὶ [πιμ]πλαμένης. τὸ σῶμα πιαίν[ου]σιν · ἀλλ' ἀφ' ἧς διάνοια ἐντρεφομένη καὶ
ἐνχορεύουσα ἀρεταῖς. γηθεῖ τε καὶ εὐφραίνεται διὰ μὲν δὴ ταῦτα καὶ τὸ πάλ[αι] λεχθὲν ὅτι 5
πέφυκεν ἐξ ἐ[αυτῶν] φωνὴν ἀφιέναι κἂν ἡσυχάζηται τὰ ὄντως ἀγαθὰ τὸν περὶ αὐτῶν λόγον
ἐῶ · οὔτε γὰρ ἥλιος ἢ σελήνη χρήζουσιν ἑρμηνέως · ὅτι τὸν σύμπαντα κόσμον ὁ μὲν ἡμέ-
ρας ἡ δὲ νυκτὸς ἀνίσχοντες φωτὸς ἐμπιπλᾶσι · ἀλλ' ἔστιν αὐτοῖς ἡ ἐπίλαμψις ἀμάρτυρος
πίστις ὀφθαλμοῖς ὥτον ἐναργεστέρῳ [κρ]ιτη[ρί]ῳ βεβαιουμένη · τὸ δὲ δοκοῦν τῶν παρ' ἐμοὶ
μάλιστα δυσκολίαν [ἔχειν καὶ χ]αλεπότητα οὐδὲ [ὑποστει]λαμένη μετὰ παῤ[ῥησίας] λέξω · 10 Pag. LXV.
καὶ γὰρ τοῦτο [που φ]αντασίᾳ μὲν κατὰ τὴν [π]ρόχειρον ἔντευξιν ἀργα[λέ]ον εἶναι δοκεῖ · μελέτῃ
δὲ ἥδιστον καὶ ἐξ ἐπιλογισμοῦ συμφέρον · ἔστιν δὲ ὁ ῥαστώνης ἐχθρὸς πόνος πρῶτον καὶ
μέγιστον ἀγαθὸν · προσφερόμενος τὸν ἀκήρυκτον πρὸς ἡδονὴν πόλεμον · ἀρχὴν γὰρ εἰ δεῖ
τἀληθὲς εἰπεῖν παντὸς ἀγαθοῦ καὶ ἀρετῆς ἁπάσης. ὁ θεὸς ἀνάδειξεν ἀνθρώποις πόνον · οὗ
χω[ρ]ὶς τῶν καλῶν παρὰ τῷ θνητῶν γένει συνιστάμενον οὐδὲν εὑρήσεις · καθάπερ γὰρ ἄνευ 15
φωτὸς ἀμήχανον ἰδεῖν · μήτε χρωμάτων μήτε ὀμμάτων ἱκανῶν ὄντων πρὸς τὴν δι' ὄψεως
ἀντίλημψιν · δεσμὸν γὰρ ἀμφοῖν προὔπεργάσατο φῶς ἡ φύσις · ᾧ καὶ συνάγεται καὶ ἁρμό-
ζεται πρὸς χρώματα ὀφθαλμός. ἐπὶ σκότους ἡ δύναμις ἀνωφελὴς ἑκατέρου τὸν αὐτὸν τρό-
πον τὸ τῆς ψυχῆς ὄμμα τῶν κατ' ἀρετὴν πράξεων ἀδυνατεῖ λαμβάνεσθαι. μὴ προσχρησάμε-
νον ὥσπερ φωτὶ συνέργῳ τῷ πόνῳ · μέσος γὰρ διανοίας ἱδρυθεὶς καὶ οὐ διάνοια ὀρέγεται 20
καλοῦ · τὸ μὲν ἔνθεν τὴν δ' ἔνθεν [ἐπισπ]ασάμενος ἑκατέρᾳ [χειρὶ φιλία]ν καὶ συμφωνίαν Col. b.
[α]ὐτὸς ἀγαθὰ τέλεια ἐργάζεται ὁποῖον γὰρ ἐὰν θέλῃς ἑλοῦ τῶν ἀγαθῶν καὶ τοῦθ' εὑρήσεις
πόνῳ περιγεινόμενόν τε καὶ βεβαιούμενον εὐσέβεια καὶ ὁσιότης ἀγαθὰ · ἀλλ' οὐκ ἄνευ θερα-
πείας θεοῦ τυχεῖν αὐτῶν δυνάμεθα · θεραπεία δὲ ταῖς ἐν πόνοις φιλοτιμίαις συνέζευγται ·
φρόνησις καὶ ἀνδρεία καὶ δικαιοσύνηι καλαὶ πᾶσαι καὶ τέλεια ἀγαθὰ · ἀλλ' οὐ θέτερα λῃπτὰ · 25
ἀγαπητὸν δὲ εἰ συνεχέσιν ταῖς ἐπιμελίαις ἐξευμενισθήσονται τὴν πρὸς τὸν θεὸν καὶ ἀρετῆς
ἀρεσκείαν ὥσπερ τινὰ ἔντονον καὶ σφοδρὰν ἁρμονίαν οὐ δυνηθὲν τὸ πάσης ψυχῆς ὄργανον
ἐνεγκεῖν ἀνείθη καὶ ἐχαλάσθη πολλάκις ὡς ἀπὸ τῶν ἄκρων ἐπὶ τὰς μέσας καταβῆναι τέχνας ·
ἀλλ' ὅμως κἂν ταῖς μέσαις πολὺς ὁ κάματος · ἴδε τοὺς τῶν ἐγκυκλίων καὶ τῶν λεγομένων
προπαιδευμάτων ἀσκητὰς ἅπαντας · ἴδε τοὺς γεωπόνους καὶ ὅσοι τὸν βίον ἔκ τινων ἐπιτη- 30

1. Pap. δυνηται. — 6. τὰ ὅσιά τε ὄντως. Pap. ον πας fausse lecture de οντως. — Pap. αυτον. λογ. — οὔτε σελήνη. — 8. Pap. ανασχοντες. — 9. Pap. ενεργεστερωι. — παρ' αὐτῇ. Pap. continue le discours direct. — 10. ἔχ. καὶ χαλεπ. μετὰ παῤῥ. — Richt. om. οὐδὲ ὑποστειλ. Restitution fournie en note par Turnèbe, p. 134. — Pap. τουτω. — 14. πάσης. — ανεδειξεν. — 15. τῷ θνητῷ γένει. — φωτὸς ἄνευ. — 16. Pap. μή. — 17. προυπειργάσατο τὸ φῶς. — 18. χρῶμα. — ἐπ. σκ. γὰρ ἡ... — 19. καὶ τὸ τῆς ψ. — πραξ. ὅτι οὖν ἀντιλαμβάνεσθαι ἀδυν. — 20. συνεργῷ. — 22. ἐθέλῃς. — Pap. τουτ' ευρ. — 25. ἀλλ' οὐ τῇ ῥαστώνῃ ταῦτα λῃπτά (θετερα pour τὰ ἕτερα). — 26. ἀρετήν. — 27. σύντονον. — 30. γεηπόνους.

Pag. LXVI. δεύσεων πορίζουσιν · οὗτοι τῶν φροντίδ[ων] οὐ μεθ' ἡμέραν οὐ νύκ[τωρ] (ΞF) ἀφίστ[ανται
ἀλλ' ἀεὶ καὶ παν]ταχοῦ τὸ [λεγόμενον δὴ τοῦ]το χειρὶ καὶ ποδὶ καὶ π[άσῃ] δυνάμει κακο-
παθοῦντες οὐ παύονται ὡς καὶ θάνατον ἀντικαταλλάττεσθαι πολλάκις · ἀλλ' ὥσπερ τοῖς ψυχὴν
τὴν ἑαυτῶν ἵλεω σπουδάζουσι λαβεῖν. θεραπευτέον ἐξ ἀνάγκης τὰς ψυχικὰς ἀρετὰς οὕτως καὶ
5 τοῖς ἵλεων τὸ σῶμα ἔχειν προαιρουμένοις θεραπευταίον ὑγιείαν καὶ τὰς συγγενεῖς αὐτῇ δυνά-
μεις καὶ δῆτα θεραπεύουσι μετὰ ἀνηνύτων καὶ ἀπαύστων πόνων οἷς φροντὶς εἰσέρχεται τῶν
ἐν αὐτοῖς δυνάμεων ἐξ ὧν συνεκρίθησαν · πάντ' οὖν ὁρᾷς τὰ ἀγαθὰ ἐκ πόνου καθάπερ ἐκ
ῥίζης μιᾶς ἐκπεφυκότα καὶ βλαστάνοντα · ὃν μήποτε ὑπομείνῃς μεθέσθαι · λήσῃ γὰρ ἅμ'
αὐτῷ καὶ σωρὸν [ἀ]θρόων ἀγαθῶν μεθέμενος · ὁ μὲν γὰρ τοῦ σύμπαντος ἡγεμὼν οὐρανοῦ
10 καὶ ἔχει καὶ παρέχει οἷς ἂν θέλῃ τὰ ἀγαθὰ μετὰ πάσης εὐμαρείας · καὶ ἐπὶ τόν τοσοῦτον
κόσμον ἄνευ πόνων πάλαι μὲν εἰργάζετο · νυνὶ εἰ δὲ καὶ εἰσαεὶ συνέχων [οὐ]δέποτε λήγει ·
Col. b. θεῷ δὲ τὸ [ἀκά]ματον ἁρμονιώτατ[ον] θνη[τῷ δὲ οὐ]δε[νὶ] κτῆσιν ἀγαθοῦ [δίχα] πόνων ἡ
φύσις δεδώρη[ται. ἵ]να κἂν ταύτῃ τ[ὸ μακά]ριον ἐν τοῖς οὖσι μόνον ὁ θεὸς εὐδαιμονίζηται
δοκεῖ [γάρ μοι] πόνος τὴν αὐ[τὴν] προσφέρεσθαι δύναμιν τρ[οφῇ καθάπερ οὖν αὕτη τὸ [ζ]ῆν
15 ἐξήρτηκεν ἑαυτῆς συνα[ρ]τήσασα καὶ τὰ ἐν τῷ ζῆν ἅπαντα ἔργα τε καὶ πάθη. οὕτως καὶ
πόνος ἐκκεκρέμακεν ἑαυτοῦ τὰ ἀγαθὰ ὥσπερ οὖν τοῦ ζῆν τοῖς γλιχομένοις τροφῆς οὐκ ἀμε-
λητέον. οὕτως τοῖς τῶν ἀγαθῶν κτήσεως ἐφιεμένοις πόνου προνοητέον · ὁ γὰρ πρὸς τὸ ζῆν
τροφή. τοῦτο πρὸς τὸ καλὸν πόνος · ἑνὸς οὖν ὄντος αὐτοῦ μηδέποτε ὀλιγωρήσῃς ἵνα τὰ
πάντα ἀγαθὰ ἀθρόα καρπώσῃ · οὕτως καὶ γενέσει νεώτερος ὤν. πρεσβύτερος νομισθήσει ·
20 καὶ τῶν πρεσβείων ἀξιωθήσει · ἐὰν δὲ βελτιούμενος ἀεὶ πρὸς τέλος ἀφίκῃ · οὐ μόνον σοι
τὰ πρεσβεῖα ὁ πατὴρ ἀλλὰ καὶ τὰ πατρῷα χαριεῖται πάντα · καθάπερ καὶ τῷ τὰς ἕδρας τοῦ
πάθους καὶ βάσις πτερνίζοντι Ἰακώβ · ὃς ὡμολόγησεν ὃ ἔπαθεν εἰπών · ὅτι ἠλέησέν με ὁ
> θεός · καί ἐστίν μοι πάντα · δογματικῶς ἅμα καὶ πεδευ[τι]κῶς ἐν γὰρ τῷ τοῦ θεοῦ ἐ[λέ]φ
Pag. LXVII. τὰ πάντα ὁρμεῖ · [με]μάθηκεν δὲ παρὰ τῷ [πά]ππῳ τῆς ἑαυτοῦ παιδείας Ἀβραὰμ ὃς τῷ πασ-
25 σόφῳ Ἰσαὰκ δί[δω]σιν τὰ ὑπάρχοντα [πάντ]α οὐδὲν ὑπολειπόμενος τῶν ὑπαρκτῶν τοῖς νόθοις
καὶ πλαγίοις τῶν παλλακῶν λογισμοῖς · ἀλλὰ μικρὰ χαρίζεται καὶ μικροῖς ἐκείνοις · τὰ
μὲν γὰρ ὑπαρκτὰ αἱ τέλειοι ἀρεταί. μόνου τοῦ τελείου καὶ γνησίου κτήματα · τὰ δὲ μέσα
τῶν καθηκόντων ἐφαρμόττει καὶ τοῖς ἀτελέσι μέχρι τῶν ἐγκυκλίων προπαιδευμάτων ἐλθοῦ-
σιν · ὧν Ἄγαρ καὶ Χεττοῦρα κατέρχουσιν · ἡ μὲν Ἄγαρ παροίκησις · ἡ δὲ Χεττοῦρα θυμιῶσα ·
30 ὁ γὰρ τοῖς ἐγκυκλίοις μόνοις ἐπανέχων παροικεῖ σοφίαν οὐ κατοικεῖ · καθάπερ τινὰ ὀδμὴν
ἡδεῖαν ἐκ τῆς περὶ τὴν θεωρίαν γλαφυρότητος ἐπιπέμπων ψυχήν · τροφῶν δὲ οὕτος οὐκ

1. ἐπιτηδευμάτων. — 2. Pap. τον λεγ. — 4. τὰς τῆς ψυχῆς ἀρ. οὕτω. — 5. Pap. om. δυνάμεις. — 6. ἃς δητα. — 8. Pap. μεσθεσθαι. — 9. ἀθρόον. — οὐρ. τε καὶ κόσμου καὶ ἔχ. — 10. οἷς ἂν ἐθέλῃ. — 11. Om. εἰ. — 12. ἁρμοδιώτατον. — ἀγαθῶν. — 13. Pap. τωυτη. — μόνος. — 15. Om. τε. — οὕτω. — 16. τοῖς γλιχ. τοῦ ζῆν. — 18. ὁ πόνος. — Pap. ολιγορ. — 19. ὀνομασθήσῃ (resp. νομισθήσῃ. Turn. concorde avec Pap.). — 20. τὸ τέλος. — 22. Pour βάσεις. — 24. δὲ ταῦτα παρά. — πανσόφῳ. — 25. ὑπαρχόντων. — 28. τοῖς μέχρι τῶν... — 29. μετέχουσιν. — 30. Pap. ω γαρ. — σοφία. — 31. τῇ ψυχῇ.

ὀσμῶν δεῖ πρὸς τὸ ὑγιαίνειν · ὄσφρησιν δὲ ὑπηρετεῖ γεύσεως. καθάπερ βασιλίδος προγευστρίδα
ὑπήκοον λέγεται φύσις εὐμηχάνως δημιουργῆσαι τὰς δὲ ἡγεμονίδας πρὸ τῶν ἀρχομ[ένων]
ἀεὶ θεραπευτέον καὶ [τὰ]ς αὐτόχθονας πρὸ [τῶν παροίκων ἐπιστήμας ταῦτα] ἀκούσας [ὁ νοῦς Col. b.
ἀποστρ]έφεται μὲν [ἡδ]ονήν · ἁρμόζεται δὲ ἀρετῇ · τὸ κάλλος ἄπλαστον καὶ γνήσιον καὶ
ἱεροπρεπέστατον αὐτῆς κατανοήσας τότε καὶ γείνεται ποιμὴν προβάτων τῶν κατὰ ψυχὴν ἀλό- 5
γων δυνάμεων ἡνιοχός τε καὶ κυβερνήτης · οὐκ ἐῶν αὐτὰς ἀτάκτως φέρεσθαι καὶ πλημμε-
λῶς δίχα ἐπιστάτου καὶ ἡγεμόνος ἵνα μὴ καθάπερ τινὰ ἀπροστασίαστον καὶ ἀνεπίτροπον
ὀρφανίαν ὑποστάντες ἐρημίᾳ συμμάχων οἱ ἀφηνιασταὶ τρόποι παραπόλλωνται · οἰκιότατον γοῦν
ὁ ἀσκητὴς ὑπολαβὼν ἀρετῇ τὸ ἔργον. ὑπομένει ποιμένειν τὰ πρόβατα Λάβαν · τοῦ χρώματι
καὶ σχήματι καὶ συνόλως ἀψυχοις σώμασιν ἐκκειμένου · καὶ οὐχ ἅπαντα ἀλλὰ τὰ ὑπολιφ- 10
θέντα · τί δὲ τοῦτο ἔστιν · διττὸν εἶναι πέφυκεν τὸ ἄλογον · τὸ μὲν παρὰ τὸν αἱροῦντα λόγον
ὡς ἄλογον τὸν ἄφρονά φασίν τινες · τὸ δὲ κατ' ἐκτομὴν λόγου ὡς τῶν ζώων [τὰ μὴ] λογικά ·
τὰς μὲν οὖ[ν ἀλόγους αὐτοῦ φορὰς] λέγω δὲ τὰς [παρὰ τὸν αἱροῦντα λό]γον δυνάμ[εις οἱ Pag. LXVIII.
υἱοὶ Λάβαν τριῶν] ἡμερῶν ἀποστ[άντες ὁδὸν] τημελοῦσι · συμβολικῶς ἅπαντα χωρισθέντες τὸν
αἰῶνα τοῦ σπουδαίου · τριμερὴς γὰρ ὁ χρόνος · ἐκ παραλελυθότος · καὶ ἐνεστῶτος · καὶ 15
μέλλοντος συνεστώς · τὰς δὲ καθ' ἑτέραν ἐγδοχὴν ἀλόγους οὐχ αἳ παρὰ τὸν ὀρθὸν λόγον
εἰσίν · ἀλλ' ὡς αἳ μὴ λογικαί. ὧν καὶ τἄλλα ζῶα κοινωνεῖ. ὁ ἀσκητὴς ἐπιμελείας ἀξιώσει ·
τὰ σφάλματα αὐταῖς οὐκ ἀπὸ κακίας πανούργου μᾶλλον ἢ ἀπὸ ἀμαθίας ἀναγώγου προσγε-
γεννῆσθαι νομίζων · ἀμαθία μὲν οὖν ἀκούσιον καὶ κοῦφον πάθος · θεράπειαν οὐ δύσεργον
ἔχει διδασκαλείαν · πανουργία δὲ ἑκούσιον ψυχῆς ἀῤῥώστημα · χαλεπὴν εἰ καὶ δὴ πάντως 20
ἀνείατον ἐργάζεται τὴν ἀποτροπήν · ἅτε οὖν παρὰ πασσόφῳ πατρὶ παιδευθέντες οἱ τοῦδε
υἱεῖς κἂν εἰς τὸ Αἰγύπτιον φίλοπαθὲς σῶμα καταβῶσι καὶ τῷ σκεδαστῇ τῶν κα[λῶν] εὐτύ-
χωσι Φαρα[ὼ ὃς βασιλεὺς] εἶναι δοκεῖ τοῦ [συγκριτικοῦ] ζώ[ου μηδὲν καταπλαγέν]τες [τῆς
ἀφθόνου] παρασκευῆς [ὁμολογοῦσιν] ὅτι ποιμέ[νες προβάτων εἰ]σὶν οὐ μό[νον αὐτοὶ ἀλλὰ καὶ] Col. b.
οἱ πατέ[ρες αὐτῶν καίτοι γε] οὐκ ἄν τις ἐπ' ἀρχῇ [καὶ δυνα]στείᾳ τοσοῦτον αὔχημα [αὐ]- 25
χήσαι. ὅσον ἐπὶ τῷ πο[ιμένες εἶναι οἱ ἄνδρες οὗτοι · [τοῖς] μέντοι δυναμένοις λογίζε]σθαι.
σεμν[ό]τερον βασιλείας ἐστὶν τὸ ἔ[ργ]ον [ἰσχῦσαι κα]θάπερ πόλεως ἢ [χώρας σ]ώματός τε καὶ
αἰσθή[σεων κ]αὶ γαστρὸς καὶ ἡδονῶ]ν τῶν] με[τὰ] γαστέρα ἡδονῶ[ν παθῶν ἄ]λλων καὶ γλώτ-
της καὶ σ[υν]όλ[ως ἅ]παντος τοῦ συν[κ]ρίμ[ατος] εὐτόνως καὶ σφόδρα ἐῤῥ[ωμέ]νως καὶ πά[λι]ν
[ἐπιεικῶς] ἀφηγήσασθαι · πῇ [μὲν γ]ὰρ ἐπανειαίναι δεῖ καθάπερ ἡνιόχον τοῖς [ὑπε]ζευγμέ- 30

1. δεῖται Pap. δε. — ὑπηρέτιν. — Pap. προγευτριδα. — 2. ἡ φ. — 3. Pap. δει pour ἀεί. — 7. ἀνεπιτρόπευτον. — 8. προσαπόλλωνται. — 12. Om. ὡς ἄλογον τόν. — ὃν ἄφρ. Turn. donne en note ὡς αλογον comme var. de ὃν ἄφρονα. — Pap. a φησιν avec α en surcharge. — 14. ὁδ. ἀποστ. — 17. ἀλλ' ὅσαι μή... — καὶ τὰ ἄλογα ζῶα. — 19. ἀκ. ὂν καὶ κοῦφ. — 20. Om. εἰ. — χαλ. δὴ καί. — 21. πανσόφῳ. — 22. διασκεδαστῇ. — ἐντύχωσι. — 25. Pap. δυναστει. — 26. αὔχ. ποτέ, ὅσον. — 28. Om. ἡδονῶν (γασ. καὶ παθ. τῶν ἄλλ.). — 30. πῇ μὲν γάρ ὑπανιέναι δεῖ. Le copiste écrivit πη μεν γαρ αφοιγεισθαι et pointilla le dernier mot qui se trouvait lettre par lettre sous αφηγησασθαι. — Pap. δε pour δεῖ.

νοις ταῖς ἡνία[ις πῆ δ' ἀντισπᾶν καὶ ἀναχαιτίζειν ὁπότε πλείων ἡ πρὸς τὰ ἐκτὸς ῥώμηι
καὶ φορὰ σὺν ἀφηνιασμῷ γένοιτο · ἄγαμαι καὶ τοῦ θεσμοφύλακος Μωϋσέως · ὃς μέγα καὶ
λαμπρὸν ἡγουμένος τὸ ποιμένειν περιῆψεν ἑαυτῷ [τὸ ἔργ]ον · τῶν γὰρ περὶ τ[ὸν Ἰοθ]ὸρ
Pag. LXIX. ἐπιστατεῖ καὶ ἀφη[γεῖται] δογμάτων ἄγων [αὐτὰ ἀπὸ τ]ῶν ὀχλικῶν τῆς [πολιτείας σ]που-
5 δασμάτων εἰς ἐρ[ημ]ίαν τοῦ μὴ ἀδικεῖν · [ἦγε γὰρ τὰ πρό]βατα ὑπὸ τὴν [ἔρημον] παρ'
ὃ καὶ ἀκολουθεῖ βδελύγματα Αἰγυπτίων εἶναι πάντ[α] προβάτων ποιμέ[να] τὸν γὰρ κυβερνή-
την καὶ ὑφ[ηγη]τὴν τῶν καλῶν ὀρθὸν λό[γον] βδελύττεται πᾶς φιλοπαθὴς κα[θ]άπερ οἱ τῶν
παίδων [ἀφρονέστα]τοι τοὺς διδασκά[λους καὶ παιδα]γωγοὺς καὶ πάντα [νουθετ]ητὴν καὶ σωφρο-
νιστὴν λόγον Μω[ϋσῆ]ς τὰ βδελύγματα Αἰγύπτ[ου θ]ύσιν τῷ θεῷ φησίν · τὰς ἀρ[ετὰς ἄ]μωμα
10 καὶ πρεπωδέστατα ἱερεῖα · ἃ βδελύσσεται πᾶς ἄ[φ]ρων ὥστε εἰκότως ὁ τὰ ἄ[ριστα] ἐπὶ
θεὸν ἀναφαίρων Ἄβ[ελ ποι]μὴν κέκληται · ὁ δὲ ἐφ' [ἑαυτὸν] καὶ τὸν ἴδιον νοῦν. γῆς ἐργάτης
ὁ Κάϊν · τί δέ ἐστιν [τὸ τὴν γῆν ἐργά]ζεσθαι διὰ τῶν [πρ]οτέρων βιβλίων ἐδηλώσαμεν ·
> καὶ ἐγένετο μεθ' ἡμέρας ἤνεγκεν Κάϊν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ κυρίῳ δύο
> ἐγκλήματα τοῦ φιλαύτου · ἓν μὲν τὸ μεθ' ἡμέρας ἀλλὰ οὐκ εὐθὺς εὐχαριστῆσαι θεῷ
15 ἕτερον δὲ τὸ ἀπὸ τῶν καρπῶν. ἀλλὰ μὴ ἀπὸ τῶν πρότων καρπῶν ὧν σύν[θετον] ὄνομα
Col. b. πρωτογε[ννήματα] ἑκατέραν δὲ τῶν αἰ[τιῶν ἐρευνήσα]μεν καὶ προτέραν [γε τὴν προτέρ]αν
τῇ τάξει φθά[νοντας] καὶ προεκτρέχοντας δεῖ πράττειν τὰ καλὰ τῶν ἔργων · βραδυτῆτα καὶ
μέλλησιν ἐκποδῶν ποιουμένους · ἔργον δὲ ἄριστον ἡ πρὸς τὸ πρῶτον καλὸν ἀνυπέρθετος
ἀρεσκεία · διὸ καὶ προστέτακται · ἐὰν εὔξῃ εὐχὴν μὴ χρονίσαι ἀποδοῦναι αὐτὴν εὐχῆι
20 μὲν οὖν ἐστιν αἴτησις ἀγαθῶν παρὰ θεοῦ · ἡ δὲ πρόσταξις τυχόντα τῶν ἐλπισθέντων στεφα-
νῶσαι θεὸν μὴ ἑαυτόν · καὶ εἰ οἷόν τε ἀχρόνως καὶ ἀμελλητὶ στεφανῶσαι · τῶν δὲ μὴ
κατορθούντων ἐν τούτῳ · οἱ μὲν διὰ λήθην ὧν εὖ πεπόνθασιν μεγάλου κτήματος εὐχαριστίας
ἐσφάλησαν · οἱ δὲ ὑπὸ σφοδρᾶς οἰήσεως ἑαυτοὺς τῶν συμβεβηκότων ἀγαθῶν αἰτίους ἐνόμισαν ·
ἀλλ' οὐ τὸ ὄντως αἴτιον · τρίτοι δ' εἰσὶν οἱ τούτων μὲν κουφότερον ἁμάρτημα · τῶν δὲ
25 προτέρων βαρύτερον δρῶσιν · ἀναγράφοντες γὰρ αἴτιον τῶν καλῶν τὸν ἡγεμόνα νοῦν. φασὶν
εἰκότως τυχεῖν [αὐτῶν εἶ]ναι γὰρ φρόνιμοι κ[αὶ ἀνδρεῖοι καὶ σ]ώφρονες κ[αὶ δικαῖοι ὥστε
Pag. LXX. ἄξιοι] διὰ τ[αῦτα] · (ΟΙ) καὶ παρὰ θεῷ χ[αρίτων. νομισ]θῆναι πρὸς [ἕκαστον οὖν ὁ ἱερὸς
λόγος ἀντιταχθεὶς φησὶν] πρώτῳ τῷ μνήμην μὲν ἀνῃρηκότι λήθην δὲ ζωπυροῦντι · μὴ φαγὼν
ὧ αὐτὸς καὶ ἐμπλησθεὶς καὶ οἰκίας μεγάλας οἰκοδομήσας καὶ κατοικήσας καὶ τῶν προβάτων
30 σου καὶ βοῶν αὐξηθέντων καὶ ἀργυρίου καὶ χρυσίου καὶ πάντων ὅσα σοί ἐστιν ὑψωθῇς τῇ

1. ὅπως μὴ πλ.... ὁρμή pour ῥώμηι. — 2. γίγνοιτο. — 3. Pap. τῶν γὰρ τοῦ περί... — 6. βδέλυγμα. — 9. σωφρ. (Pap. σοφρ.) ἀγαθόν. Μωϋσ. δέ. — Pour θύσειν. — 10. Pap. ιερεα. — 11. ἐπὶ τὸν θ. — 12. βίβλων. — 13. τοῦ καρποῦ. — δῶρον loco θυσιαν. — 14. Pap. φιλαυαιτου. au sort de l'alignement, devait corriger αι que le correcteur a oublié de pointer c'est-à-dire de biffer. — Pap. οὐκ (en surcharge dans le manuscrit) ἀλλ' εὐθ. — ἐρευνήσωμεν καὶ πρότερόν γε τ. πρ. — 19. εὔχ., οὐ χρονίσεις ἀποδ. — 20. παρὰ τοῦ θ. — ἐπιτυχόντα. — 22. μεγ. καὶ καλοῦ κτ. — 25. Om. νοῦν. — 28. τῷ πρώτῳ μν. — 29. ὦ οὗτος. — οἰκ. καλὰς οἰκ. — 30. ἐστι πληθυνθέντων ὑψωθῇς.

καρδίᾳ καὶ ἐπιλάθῃ κυρίου τοῦ θεοῦ σου · πότε οὖν ἐπιλησθήσῃ θεοῦ ὅταν μὴ ἐπιλάθῃ σεαυτοῦ · μεμνημένος γὰρ τῆς ἰδίου περὶ πάντα οὐδενείας μεμνήσει καὶ τῆς τοῦ θεοῦ περὶ πάντα ὑπερβολῆς · τὸν δὲ αὐτὸν νομίζοντα τῶν συμβαινόντων αἴτιον. σωφρονίζει τὸν τρόπον τοῦ-
> τον · μὴ εἴπῃς φησὶν ἡ ἰσχύς μου ἢ τὸ κράτος τῆς χειρός μου ἐποίησέν μοι πᾶσαν τὴν
> δύναμιν ταύτην · ἀλλὰ μνείᾳ μνησθήσῃ κυρίου τοῦ θεοῦ σου · τοῦ διδόντος σοι ἰσχὺν ποιῆ- 5
> σαι δύναμιν · ὁ δὲ ἀξιόχρεων ἑαυτὸν ὑπολαμβάνων κτήσεως καὶ ἀπολαύσεως ἀγαθῶν χρη[σ]μῷ
μεταδιδαχθήτω λέγον[τι ο]ὐχὶ διὰ τὴν δικαιοσύνην [σο]υ · οὐδὲ τὴν] ὁσιότητα τῆς καρδίας Col. b.
σου [εἰσέρχῃ εἰς] τὴν γῆν κληρονομῆσαι αὐτὴν] ἀλλὰ πρῶτο[ν μὲν διὰ τὴν ἀ]νομίαν τῶν
[ἐθνῶν τούτων] ὄλεθρον κακίαις [ἐπάγοντος θεοῦ] ἔπειτ' ἵνα στήσ[ῃ τὴν] διαθήκην] ἣν ὤμο-
σεν τοῖς πατράσιν ἡμῶν · διαθήκη δ' ἐστιν θεοῦ σ[υμ]βολικῶς αἱ χάριτες αὐτοῦ · θέμις δὲ
οὐδὲν ἀτελ[ὲς] αὐτῷ χαρίζεσθαι ὥσθ' ὁλόκληροι καὶ παντελεῖς α[ἱ τοῦ ἀγε]νήτ[ου] δωρεαὶ πᾶσαι
ὁλόκληρον καὶ ἐν τοῖς οὖσιν ἀρετὴ καὶ αἱ κατ' ἀρέτην πράξις · ἐὰν οὖν λήθ[ην] καὶ ἀχαρι-
στίαν καὶ φιλαυτίαν καὶ τὴν γενικὴν τούτων κακίαν ἀνέλωμεν οἴ[ησιν] οὐκέτι διαμέλλοντες
ὑστεριοῦμ[εν] γνησίου θεραπ[εία]ς · ἀλλ' ὑπερτροχάζοντες κ[αὶ ὑπερπη]δῶντες τὰ ἐν [γενέσει
πρὶν] ἀσπάσασθαί τι τῶν θ[νητῶν] ἐντευξόμεθα τῷ δεσπ[ότῃ] παρασκευακότες ἑτοίμ[ους] τὰ 15
κελευόμενα ποιεῖν ἑαυτούς · καὶ γὰρ Ἀβραὰμ μετὰ σπουδῆς καὶ τάχους καὶ προθυμίας πάσης
ἐλθὼν παρακελεύει τῇ ἀρετῇ Σάῤῥα · σπεῦσαι καὶ φυρᾶσαι τρία μέτρα σεμιδάλεως · καὶ ποιῆ-
σαι ἐγκρυφίας ἡνίκα ὁ θεὸς δορυφορούμενος ὑπὸ δυεῖν τῶν [ἀνωτάτ]ωι δυνάμεων · ἀρ[χῆς] τε Pag. LXXI.
αὖ καὶ ἀ]γαθότητος · εἷς [ὢν ὁ μέσος τρ]ιττὰς φαντασί[ας ἐνειργάζετ]ο · τῇ ὁρατικῇ ψυχῇ ·
ὧν ἑκάστη μεμέτρηται μὲν οὐδαμῶς · ἀπόγραφος γὰρ ὁ θεὸς ἀπόγραφοι δὲ καὶ αἱ δυνάμεις 20
αὐτοῦ · μεμέτρηκεν δὲ τὰ ὅλα · ἡ μὲν οὖν ἀγαθότης αὐτοῦ μέτρον ἀγαθῶν ἐστιν · ἡ δὲ
ἐξουσία μέτρον ὑπηκόων · ὁ δὲ ἡγεμὼν αὐτὸς ἁπάντων · καὶ σωμάτων καὶ ἀσωμάτων · δι'
ὃν καὶ αἱ δυνάμεις κανόνων καὶ παραπηγμάτων λαβοῦσαι λόγον. τὰ μεθ' αὐτὰς ἐσταθμήσαντο ·
τὰ δὴ τρία μέτρα ταῦτα καλὸν ἐν ψυχῇ ὥσπερ φυρανθῆναί τε καὶ συνενεχθῆναι ἵνα τυπω-
τεῖσα. τὸν κατὰ τὸ εἶναι θεὸν ὃς ὑπερκέκυφε τ[ὰς δυνάμ]εις ἑαυτοῦ καὶ χω[ρὶς αὐτῶν] ὁρώμε- 25
νος καὶ ἐν αὐταῖς ἐνφαινόμενος. δέξηται χαρακτῆρας ἐξουσίας τε καὶ εὐεργεσίας αὐτοῦ · καὶ
τῶν τελείων μύστις γενομένη τελετῶν. μηδενὶ προχείρως ἐκλαλῇ τὰ μυστήρια · ταμιευομένη
δὲ αὐτὰ καὶ ἐχεμυθοῦσα. ἐν ἀπορρήτῳ φυλάττη · γέγραπται γὰρ ἐγκρυφίας ποιεῖν · ὅτι
κεκρύφθαι δεῖ τὸν ἱερὸν περὶ τοῦ ἀγενήτου καὶ τῶν δυνάμεων αὐτοῦ μύστην λόγων ·
[ἐπεὶ θείων] παρακαταθήκην [ὀργίων] οὐ παντός ἐστιν φυ[λάτ]ξαι · τὸ γὰρ ἀκράτορος ψυχῆς 30 Col. b.

1. ἐπιλήσῃ. — 2. ἰδίας. — 3. ἑαυτόν. — συμ. ἀγαθῶν αἴτιον. — 6. Pap. αξιοχρεωι. — 7. Pap. τὰ ὁσιότητα. — Pensait à ὁσιώτατα. — 9. κακίας. — 10. Pap. première main χαριδες. τ en surcharge. — 11. ἀγεννήτου. — 12. κατ' αὐτήν πρ. — πραξις pour πραξεις, à moins que αι ne soit pour ἡ. — 13. γεννητικήν. — 15. παρεσκ. ἑαυτοὺς ἑτοιμ. — 17. παρακελεύεται. — Σάρα. — 20. ἀπερίγραφος (bis). — 22. διὸ καί. — 23. παραγγελμάτων. — μετὰ ταύτας. — 24. τὰ μὲν δή. — Pour φυραθῆναι et συνενεγχθῆναι. — ἵνα πεισθεῖσα τὸν ανωτάτω εἶναι θεόν... — 25. δυν. αὐτοῦ. — 26. ἐν ταύταις. — Pap. ενφραινομενος. — 27. τὰ θεῖα μυστ. — 29. Richt. λόγον. — 30. τῆς ἀκ. ψ.

νᾶμα ἐξω ῥέον διὰ στόματός τε καὶ γλώττης πάσαις ἀκοαῖς ἐπαντλεῖται · ὧν αἱ μὲν εὐρυχώ-
ρους δεξαμενὰς ἔχουσαι · τὸ ἐπισχεόμενον φυλάττουσι · αἱ δὲ διὰ στενότητα πόρων. ἀδυνα-
τοῦσιν ἄρδεσθαι · τὸ δ' ὑπερβλύον ἀκατασχέτως ἐκχεόμενον. σκίδναται πάντῃ · ὡς ὑπα-
ναπλεῖν καὶ ἐπινήχεσθαι τὰ κεκρυμμένα καὶ φορυτοῦ τρόπον εἰκαίου τὰ πάσης ἄξια σπουδῆς
5 μετὰ συρμοῦ καταφέρεσθαι · παρ' ὅ μοι δοκοῦσιν ὀρθῶς βεβουλεῦσθαι τὰ πρὸ τῶν μεγάλων
τούτων τὰ μικρὰ μυστήρια μυηθέντες · ἔπεψαν γὰρ τὸ σταῖς αὐτῶν ὁ ἐξήνεγκαν ἐξ Αἰγύπ-
του ἐγκρυφί[ας] ἀζύμους · τοῦτ' ἐστιν τὸ ἀ[τί]θασον καὶ ὠμὸν πάθος κατειργάσαντο · ὥσπερ
τροφὴν λόγῳ πεπαίνοντι · καὶ τὸν τρόπον τῆς πεπάνσεως καὶ βελτιώσεως ἔκ τεινος θείας
κατοκωχῆς γεγεννημένον. οὐκ ἐξελάλησαν · ἀλλὰ ἐν ἀποκρύφοις αὐτὸν ἐθησαυρίσαντο · οὐκ
Pag. LXXII. 10 ἐπαρθέντες [τῇ τελε]τῇ. ὑπενδόντες δὲ καὶ [τα]πεινωθ[έντες] τὸ αὔχη[μα] · πρὸς οὖν εὐχαρ[ι-
στίαν καὶ τιμὴν τοῦ] παντο[κράτορος] εὔζωνοι καὶ εὐτρεπ[εῖς ἀ]εὶ γεινώμεθα · μέλλησιν
παραιτούμενοι · καὶ γὰρ τὸ πάσχα τὴν ἐκ παθῶν εἰς ἄσκησιν ἀρετῆς διάβασιν. προστέτα-
κται ποιεῖσθαι τὰς ὀσφῦς περιεζωσμένους · ἑτοίμως πρὸς ὑπηρεσίαν ἔχοντας · καὶ γὰρ τὸν
σάρκικον ὄγκον τὰ ὑποδήματα λόγῳ περιειληφότας ἀκλινῶς καὶ παγίως ἑστῶτες τοῖς ποσὶ
15 καὶ τὴν παιδείαν διὰ χειρὸς ἔχοντας ῥάβδον πρὸς τὴν τῶν ἐν τῷ βίῳ πραγμάτων πάντων
ἀπταίστων κατόρθωσιν · καὶ τὸ τελευτέον μετὰ σπουδῆς ἐντραφῆναι θύσις γάρ ἐστιν οὐ
θνητὴ ἐπὶ τοῦ ἀγενήτου καὶ ἀφθαρτοῦ τὸ πάσχα εἴρηται · καὶ σφόδρα προσηκόντως · οὐδὲν
γάρ ἐστιν τῶν καλῶν ὃ μὴ θεοῦ τε καὶ θεῖον · ταχέως οὖν αὐτό · ἀναζήτησον ὦ ψυχὴ
καθάπερ ὁ ἀσκητὴς Ἰακώβ · ὃς πυνθανομένου τοῦ πατρὸς τί τοῦτο ὃ ταχὺ εὗρες ὦ τέκνον
20 > δογματικῶς ἀποκρίνεται · ὁ παρέδωκεν κύριος ὁ θεὸς ἐναντίον ἐμοῦ · πολλῶν γὰρ ἔμπιρος
πραγμά[τω]ν γεγονὼς ἠπίσ[τα]το ὅτι [ἃ μ]ὲν ἂν διδῷ γένεσις ψυχῇ [χ]ρόνῳ μακρῷ βεβαιοῦται
Col. b. ὥσπερ [οἱ τὰς τέχνα]ς καὶ τὰ τῶν τεχνῶν π[αραγ]γέλματα τοῖς μανθά[νουσι] παραδιδόντ[ες
οὐ γὰρ εὐθὺς] ὥσπερ οἱ προχ[έοντες εἰς ἄγ]γος ἰσχύουσι ἀπο[πληρῶσαι] τὴν τῶν εἰσαγο-
μ[ένω]ν διά[νοι]αν · ἐπειδὰν δὲ ἡ πηγὴ τῆς σο[φί]ας ὁ θεὸς παραδιδῷ τὰς ἐπιστήμ[ας] τῷ
25 θνητῷ γένει. παραδίδωσιν ἀχρόνως · οἱ δ' ἅτε τοῦ μόνου [σο]φοῦ γεγονότες μαθηταὶ εὐφυ[εῖς]
ταχέως τὰς εὑρέσεις ὧν ἐζήτησαν ἔλαβον · πρώτη δὲ τῶν εἰσαγομένων ἀρετὴ τ[ὸ δι]δάσ-
καλον ὡς ἔνεστι τέλειον [ἀτε]λεῖς μειμεῖσθαι γλίχεσθαι · ὁ δὲ διδάσκαλος φθάνει καὶ τὸν
χρονὸν · οὐδ' ὅτε τὸ πᾶν ἐγέννα συνεργήσαντα · ἐπειδὴ καὶ αὐτὸς γεινομένῳ τῷ κόσμῳ
συνυφίστατο · ὁ γὰρ θεὸς λέγων ἅμα ποιεῖ μειδὲν μεταξὺ ἀμφοῖν τιθείς · εἰ δὲ χρὴ [δό]γμα
30 κεινεῖν ἀληθέσ[τερον] ὁ λόγος ἔργον ἦν αὐτοῦ · λ[όγου] δὲ ὀξυκεινητότερο[ν οὐ]δὲν καὶ παρὰ

2. ἐπιχεόμενον. — φυλ. ἀρεσκεία. — 3. ὑπερβλύζον. — 4. ἐπαναπλεῖν. — Pap. φορτου. — 5. οἱ πρό. — 8. πεπαίνοντες. — 9. κατακωχῆς. — αὐτῶν ἐθησαύρισαν. — 11. Pap. ευζονοι. — 12. ταῖς ἐκ π...διαβᾶσι. — 13. Pap. εχοντες. — Om. γάρ. — 14. σάρκινον. — Pap., un καί est raturé entre ὄγκον et τά. — ἑστῶσι. — 15. Pap. ἔχοντες. — 16. ἄπταιστον — ἐντρ. διάβασις γὰρ ἐπὶ θεὸν τοῦ γεννητοῦ καὶ φθαρτοῦ τὸ πάσχα εἴρηται. — 19. καθ. καὶ ὁ ἀσκ. — πυθομένου. — 20. μου. — 21. Pap. γηνεσες. — 26. Pap. διδασκ' ον. L'apostrophe semble être ici un signe d'abréviation pour αλ. Exemple unique dans ce manuscrit. — 28. ἐπ · καὶ ὁ χρόνος δηλονότι αὐτός... — 29. ἐποίει μηδέν. — 30. Om. ἦν. — λόγ. δὲ εὐκινητότ.

τῷ θν[ητῷ γένει] παραμείβεται γὰρ [τῇ ῥύμῃ] ὀνομάτων καὶ ῥημ[άτων] τὴν ἐπ' αὐτοῖς
φθάν[ουσαν κα]τάληψιν · ὥσπερ οὖ[ν τὰ διὰ] κρουνῶν ἐγχεόμεν[α νάματα] ἐριθρὰ ἄδεικτον
ἔχε[ι τὴν] φορὰν ἐπικαταλαμβά[νον]τος αἰεὶ [τὴν] δεῖξιν τοῦ ἐπιόντος ῥεύματος. οὕτως ἡ τοῦ Pag. LXXIII.
λόγου πλήμμυρα [ὅταν ἄρ]ξηται φέρεσθαι τῶν [ἐν ἡμῖ]ν τῷ ὀξυκινητοτάτῳ διανοίας. καὶ τὰς
πτηνὰς παραμείβεται φύσεις · συντρέχει · καθάπερ οὖν ὁ ἀγένητος φθάνει πᾶσαν γένεσιν. οὕτως
καὶ ὁ τοῦ ἀγενήτου λόγος παραθεῖ τὸν γενέσεως κἂν ἀξύτατα ἐπὶ νειφῶν καταφέρηται · διὸ
καὶ παῤῥησιάζεται φάσκων. ἤδη ὄψη εἰ καταλίψεταί σε ὁ λόγος [μο]υ ἢ οὔ · ὡς πάντα ἐφθα-
κό[τος] καὶ κατειληφότος τοῦ θείου λόγου · εἰ δὲ ὁ λόγος ἔφθακεν πολὺ μᾶλλον ὁ λέγων αὐτὸς
καθάπερ ἐν ἑτέροις μαρτυρεῖ φάσκων . ὁ δὲ ἐγὼ ἕστηκα πρὸ τοῦ σὲ δηλοῖ γὰρ ὅτι πρὸ παντὸς
ὑφέστηκεν τοῦ γενομένου · καὶ ὁ ἐνταῦθα ὤν. κἀκεῖ καὶ ἀλλαχότι καὶ πανταχοῦ πεπληρωκὼς
πάντα διὰ πάντων · καὶ οὐδὲν ἔρημον ἑαυτοῦ καταλελοιπὼς [ὑπάρ]χει · οὐ γάρ φησιν ὧδε
ἐγώστη[κα] καὶ ἐκεῖ · ἀλλὰ καὶ νῦν ὅτε [πάρε]ιμι ἕστηκα κατὰ τὸν αὐ[τὸν] χρόνον ἐκεῖθι ·
ἀλλ' οὐ με[τα]βατικῶς κινούμενος · [ὡς τ]ὸν μὲν ἐπιλαμβάνειν · [τὸ]ν δὲ ἀπολίπειν τόπον ·
[ἀλ]λὰ τονικ[ῇ χ]ρώμενος τῇ κινήσ[ει δεόντως. οὖν μ]ειμούμενος τὴν τοῦ πατρὸς φύσιν οἱ Col. b.
ὑπήκοοι παῖδες. ἀμελλητὶ μετὰ σπουδῆς πάσης τὰ καλὰ δρῶσιν · ὧν ἔργων ἐστὶν κάλλιστον ἡ
ἀνυπέρθετος θεοῦ. τιμή · Φαραὼ δὲ ὁ σκεδαστὴς τῶν καλῶν · ἀχρόνων δυνάμεων φαντασίαν
οὐχ οἷος τε ὢν δέξασθαι. τὰ ψυχῆς ὄμματα πεπηρωμένος · οἷς μόνοις αἱ ἀσώματοι καταλαμ-
βάνονται φύσεις. οὐδὲ ὠφεληθῆναι δι' ἀχρόνων ὑπομένει · ἀλλὰ ταῖς ἀψύχοις δόξαις λέγω
δὲ βατράχοις πιεσθείς. ἦχον καὶ ψόφον ἥμερον καὶ κενὸν πραγμάτων ἀποτελούσαις · εἰπόν-
τος Μωσέως τάξαι πρὸς μέ ποτε εὔξομαι περὶ σοῦ καὶ τῶν θεραπόντων ἀφανίσαι τοὺς βατρά-
χους. δέον ἐν ἀνάγκαις σφοδραῖς ὄντα εἰπε[ῖν] εὐθὺς εὔχου. ὑπερτίθετ[αι] λέγων εἰς αὔριον ·
ἵνα διὰ πάντων τὴν ὁμαλότητα τῆς ἀθεότητος διαφυλάξῃ · τοῦτο σχεδὸν ἅπασι παρακολου-
θεῖ τοῖς ἐπαμφοτερισταῖς κἂν μὴ διὰ τῶν ὀνομάτων καὶ ῥημάτων ὁμολογῶσιν · ἐπειδὰν γὰρ
συμβῇ τι τῶν ἀβουλήτων ἅτε μὴ πεπιστε[υκό]τες παγίως τῷ σωτῆρ[ι θεῷ] πρότερον κατα-
φευγούσ[ιν] ἐπὶ τὰς ἐν γενέσει β[οηθείας] ἰατροὺς βοτάνας φαρμ[άκων] συνθέσις δίαιταν Pag. LXXIV
ἠκριβωμένην · τὰ ἄλλ' ὅσα παρὰ τῷ θνητῷ γένει βοηθήματα · κἂν ἄρα εἴπῃ τις καταφεύ-
γετε ὦ μάταιοι ἐπὶ τὸν μόνον ἰατρὸν ψυχῆς ἀῤῥωστημάτων · μεθέμενοι τὴν ἀπὸ γενέσεως
τῆς παθητῆς ψευδώνυμον ὠφέλειαν. γελῶσιν καὶ χλευάζουσιν ἐπιφωνοῦντες ταῦτα εἰς αὔριον ·
ὡς οὐδ' ἂν εἴ τις γένοιτο περὶ τῆς τῶν παρόντων κακῶν ἀποτροπῆς ἱκετεύσοντες τὸ θεῖον ·
ἀλλ' ὅταν τε τῶν ἀνθρωπείων μηδὲν ἀρκῇ πάντα δὲ εὑρίσκηται καὶ τὰ παιώνια βλαβερὰ τηνι-

1. ἐπ' αυτοὺς φθ. — 2. ἐκχεόμ. ἀένναα νάματα ἄληκτον ἔχει τ. φορ. — ἐριτρά pour ἐρυθρὰ (?). — 3. τὴν λῆξιν τοῦ ἐπ. — 4. Pap. πλημυρα. — τῇ ὀξ. (Pap. οξυκινητατωι) διανοίᾳ ἢ καὶ τ... — 6. καταφέρεται. — 7. ὄψει, ἐπεὶ κατα λήψεται. — Om. ἢ οὐ. — 8. πολλῷ. — 9. λέγων pour φάσκ. — ἔστ. ἐκεῖ πρ. — 10. ἐνθάδε. — 12. ἐκεῖθι. ἀλλά... — ἔστ. καὶ ἐκεῖ (Pap. κειθι) κατὰ τ. αὐτ. χρ. — Om. ἀλλά. — 14. Pap. μειμυμενος. — 15. πάσ. σπουδ. — ἔργον. — 16. Om ὁ — Om. τῶν καλῶν. — 17. τῆς ψ. — 18. ὑπέμεινεν. — 19. ἔρημον. — ἀποτελοῦσιν. — 20. Pap. τάξε. — ποτ. ἵνα εὔξοματι. — θερ. σου. — 21. ὁ δὲ υπερτίθ. — 22. διὰ παντός. — ἀπαλότητα. — 24. καὶ πρότ. — 25. Pour συνθέσεις. — 26. ἠκρ. πάνθ' ὅσα παρά... — Pap. καταφεύγεται. — 27. ὦ μογεροί. — 29. τι. — 30. ὅταν γε. — ἀνθρώπων.

καῦτα ἐξ ἀμηχανίας πολλῆς τὴν ἀπὸ τῶν ἄλλων ὠφέλειαν ἀπογνόντες. ἄκοντες οἱ δείλαιοι καταφεύγουσιν ὀψὲ μόγις ἐπὶ τὸν μόνον σωτῆρα θεόν · ὁ δ' ἅτε εἰδὼς τὰ ἐν ἀνάγκαις ἄκυρα. οὐκ ἐπὶ πάντων χρῆται τῷ νόμῳ · ἀλλ' ἐφ' ᾧ καλὸν καὶ συμφέρον χρῆσθαι · π[ᾶς οὖν
Col. b. λ]ογισμὸς κτήματα [αὐτοῦ τ]ὰ πάν]τα ἡγούμενος καὶ αὐτὸν προτιμῶν θεοῦ τὸ γὰρ μεθ' ἡμέ-
5 ρας] θ[ύειν] τοιοῦτον ὑποβ[άλλει νοῦν] ἔνοχος ὢ[ν ἀσεβείας ἴστω] γραφῇ · καὶ τὸ μ[ὲν] πρότερον ἔγκλημα τοῦ Κάϊν ἀποχρ[ών]τως ἐπεξήλ[θο]μεν · τὸ δ[ὲ δεύ]τερον τοιοῦτο[ν ᾖ]ν · τί δή[ποτε] ἀπὸ τῶν καρπ[ῶν] ἀλλ' οὐκ ἀπὸ τῶν πρ[ώτων καρπῶν] φέρει τὴν ἀπαρ[χήν · μήποτε διὰ τὴν αὐτὴν α[ἰτίαν ἵνα τὰ] μὲν π[ρεσ]βεῖα γεν[έσει δῷ τοῖς δὲ δευτερείοις ἀμείψηται] τὸ θεῖο[ν · ὥσπερ γάρ εἰσί τι]νες οἱ ψ[υχῆς προκρίνουσι] σῶμα [τῆς δεσποίνης τὸ] δοῦ[λον οὕτως
10 εἰσὶν οἳ] γέν[εσιν μᾶλλον θεοῦ προτετιμή]κασι · πρόσταγμα τε[θεικότος] τοῦ νομοθέτου ἵνα [τὰς ἀ]παρχὰς τῶν πρωτο[γεννημά]των εἰσφέρωσιν εἰς τὸν οἶκον κυρίου τοῦ θεοῦ · ἀλλὰ μὴ ἑαυτοῖς ἐπιγράφομεν · καὶ γὰρ δίκαιον τῶν [τῆς ψυ]χῆς κεινημάτων [ὅσα] πρῶτα ἢ τάξει ἢ [δυνά]μει θεῷ ὁμολογεῖν · τὰ μὲν οὖν [τῇ] τάξει πρῶτα τοιαῦτά ἐστιν · οἷς κατ[ὰ τὴν] πρώτην γένεσιν εὐθὺς ἐκοινωνήσαμ[εν] τροφή · αὔ[ξη]σις · ὅρ[ασις · ἀ]κοή · γεῦσις ·
Pag. LXXV. 15 ὄσφρησις · ἁφή · λόγος · νοῦς [μέρ]η ψυχῆς · μέρη σώματος · [αἱ τούτω]ν ἐγέργειαι · συνόλως κεινήσις αὐτῶν καὶ σχέσεις αἱ κατὰ φύσιν · τὰ δὲ ἀξιώματι καὶ δυνάμει κατωρθώματα αἱ ἀρεταὶ αἱ κατ' ἀρετὰς πράξεις · δίκαι[ον] οὖν ἀπὸ τούτων ἀ[πάρχεσθ]αι · αἱ δὲ ἀπαρχαὶ λόγος [ἐστὶν] ἐκ διανοίας ἀληθοῦς ἀνα[πεμπόμ]ενος εὐχαριστητικός · τέμνει δὲ αὐτὸν κατὰ [τὰς οἰκεί]ας τομάς · ὅνπερ τρ[όπον ἡ λύρα] καὶ τὰ ἄλλα μου[σικῆς ὄργαν]α τέτμηται ·
20 τῶν γ[ὰρ ἐν αὐτοῖς] φθόγγων καὶ [καθ' ἑαυτὸν ἕκασ]τος ἥρμο[σται καὶ πρὸς τὴν ἑτ]έρου συμ-[φωνίαν μάλιστα ᾠ]κίωται · καθάπερ καὶ τῶν ἐν γραμματικῇ στοιχείων τὰ λεγό[με]να φωνήντα · ἅ καὶ καθ' αὑτὰ φωνεῖται. καὶ σὺν ἑτέροις ὁλόκληρον ἀποτελεῖ φωνήν · πολλὰς γὰρ δυνάμεις αἰσθητικάς τε καὶ λογικὰς καὶ νοητὰς ἐν ἡμῖν αὐτοῖς ἡ φύσις δημιουργήσασα. καὶ πρός τι τῶν οἰκείων ἑκάστην τινασέργων καὶ πάλιν [πά]σας ἁρμοσαμένη δι' ἀνα-
Col. b. 25 λογίας κοινωνίᾳ καὶ συμφωνίᾳ τῇ πρὸς [ἀλλήλας] ὀρθότατα ἂν καὶ ἐφ' ἑκάσ[τῃ] καὶ ἐφ' ἁπάσαις εὐδαιμονίζοιτο · διόπερ ἐὰν προσφέρῃ θυσίαν πρωτογεννημάτων. οὕτως διαίρει ὡς ὑψηγεῖται ὁ ἱερὸς λόγος · νέα τὸ πρῶτον · εἶτα πεφυρμένα · ἔπιτα χίδρα · καὶ ἐπὶ πᾶσιν ἐρικτά · νέα μὲν διὰ τόδε · τοὺς τὸν παλαιὸν καὶ γέροντα καὶ μυθώδη χρόνον ἀσπαζομένους ταχεῖαν δὲ καὶ ἄχρονον θεοῦ δύναμιν μὴ συνεωρακότας. ἐκδιδάσκει νέα καὶ ἐπακμά-
30 ζοντα καὶ ἀνηβῶντα προτρέπων ἐνθύμεια λαμβάνειν · ἵνα μὴ πολιαῖς ἐντρεφόμενοι μυθοποιΐαις ἃς ὁ μακρὸς αἰὼν ἐπ' ἀπάτῃ τοῦ θνητοῦ παραδέδωκεν. ψευδοδοξῶσιν · ἀλλὰ παρὰ τοῦ ἀεὶ

2. ὀψὲ καί μόλις. — 3. ἐφ' ὧν. — 11. πρωτογ. τῆς γῆς εἰςφέροιμεν εἰς τ. οἶκ. τ. θ.; om. κυρίου. — 12. ἐπιγράφωμεν. — 13. ὧν κατ. τ. πρ. — 16. Om. αὐτῶν. — Pap. δυνάμη. — τὰ κατωρθ. — 18. εὐχαριστικός. — Pap. τεμνε. — 19. Pap. ον περι. — 20. ἑτέραν. — 22. Pour φωνήεντα. — ἃ κ. καθ' ἑαυτὰ εκφωνεῖται. — πολλὰς δὲ δυν. — 23. λογικὰς νοητικὰς ἐν... — 24. Pour τείνασα ἔργων. — 25. ἐπὶ πάσαις. — 26. προσφέρῃς. — 27. πεφρυγμένα. — ἔπιτα pour ἔπειτα. — 28. μὲν οὖν. — παλ. κ. γηραιόν. — 29. Pour συνεωρακότας. — 30. καὶ ἡβῶντα. — Pour πολιαῖς : παλαιαῖς. — 31. τῶν θνητῶν.

ἀγήρω νέου θεοῦ τὰ νέα καὶ καινὰ ἀγαθὰ μετὰ πάσης ἀφθονίας λαμβά[νοντες ἐκ]διδάσκων[ται]
μηδὲν ἡγεῖσθαι παρ' αὐτῷ παλαιὸν ἢ συνόλως παρεληλυθὸς · ἀλλὰ γεινόμενόν τε ἀχρόνως καὶ
> ὑφεστηκός · οὗ χαριν καὶ δι' ἑτέρων φησίν · ἀπὸ προσώπου πολιοῦ ἐξαναστήσῃ καὶ τιμήσεις
> πρόςωπον πρεσβυτέρου · ὡς π[αμμεγέθους] διαφορᾶς ο[ὔσης πολιὸς μὲ]ν γὰρ ὁ μη[δὲν ἐνερ-
γῶν ἐστιν χρόνος] ἀφ' οὗ με[τανίστασθαι καὶ ἀπο]διδράσκειν [δεῖ τὴν μυρίο]υς ἀπατῶσαν ; Pag. LXXVI
ἐκκλείνοντας ὑπόλημψιν · ὡς ἄρα τι ποιεῖν οὗτος πέφυκεν · πρεσβύτερος δὲ ὁ τιμῆς καὶ γέρως
και πρεσβείων ἐπάξιος ὤν · ὃν Μωσῇ τῷ θεοφιλεῖ δοκιμάζειν ἐπιτέτραπται · οὓς γὰρ σὺ
οἶδας φησὶν οὗτοί εἰσιν πρεσβύτεροι · ὡς ἂν μηδεμίαν ἀποδεχομένου νεωτεροποιείαν · ἀλλὰ
πρεσβυτέρων καὶ τῆς ἀνωτάτωι τιμῆς ἀξίων δογμάτων εἰωθότος ἐρᾶν · ὠφέλιμον μὲν οὖν
εἰ καὶ μὴ πρὸς ἀρετῆς κτῆσιν τελείας. ἀλλά τοι πρὸς πολιτείαν καὶ τὸ παλαιᾶς καὶ ὠρυ- 10
γίοις ἐντρέφεσθαι δόξαις · καὶ ἀρχαίαν ἀκοὴν ἔργων καλῶν μεταδιώκειν ἅπερ ἱστορικοὶ καὶ
σύμπαν τὸ ποιητικὸν γένος τοῖς τε καθ' αὑτοὺς καὶ [τοῖς ἔπειτα] μνήμῃ παραδεδώκασι ·
ἀλλ' ὅταν γε μὴ προειδομένοις μηδὲ ἐλπίσασι φέγγος αἰφνίδιον ἐπιλάμψητο αὐτομαθοῦς
σοφίας. ἡ δὲ τὸ μεμοικὸς ὄμμα ψυχῆς διοίξασα ἀντὶ ἀκροατῶν θεατὰς ἐπισ[τ]ήμης ἐργάσή-
ται [τὴ]ν ὠκυδρο[μωτάτ]ην [αἰσ]θή[σεως] ὄψ[ιν πρὸ] τῆς [βρα]δυ[τέρ]α[ς ἀκοῆς ἐν διανοίᾳ 15 Col. b.
θεῖσα μάτ]αιόν ἐστι δ[ιὰ λόγων] ὦτα γυμνάζειν · διὸ [καὶ] λέγε[ται φάγεσθε] παλαιὰ καὶ
παλαιὰ παλαιῶν · ἀλλὰ καὶ παλαιὰ ἐκ προσώπου νέων ἐξοίσετε ὡς δέον πολιὸν μὲν μάθημα
χρόνῳ μηδὲν ἀρνεῖσθαι πειρωμένους καὶ πράγμασιν σοφῶν ἀνδρῶν ἐντυγχάνειν καὶ γνώμαις
καὶ διηγήσεσι ἀρχαιολο[γούν]των παρεῖναι · καὶ φιλοπευστεῖν ἀεὶ [περὶ] τῶν π[ροτέρων καὶ
ἀνθρώπων καὶ πραγμάτων · τοῦ μηδὲν ἀγνοεῖν ὄντος ἡδίστου · νέας δὲ ὅταν ἀνατείλῃ 20
βλάστας αὐτοδιδάκτου σοφίας θεὸς ἐν ψυχῇ · τὰ ἐκ διδασκαλίας εὐθὺς περιγράφειν καὶ περι-
σύρειν ὑπον[οσ]τοῦντα καὶ ὑποῤῥέον[τα] ἐξ ἑαυτῶν · τὸν γὰρ θεοῦ φυτητὴν ἢ γνώριμον ἢ
μαθητὴν ἢ ὅ τί ποτε χρὴ θεμένους ὄνομα καλεῖν ἀμήχανόν ἐστι θνητῶν ὑφηγήσεως ἀνέ-
χεσθαι · ἔστω δὲ ἡ νέας ψυχῆς ἀκμὴ πεφρυμμένη · [τοῦτ'] ἐστὶν ὡς πυρὶ χρ[υσὸς λόγ]ῳ
δυνατῷ βεβ[ασανισμένη · τοῦ δ]ὲ βεβασανίσ[θαι] καὶ δε[δοκιμάσθαι σημεῖον] τὸ πε[πηγέναι · 25 Pag. LXXVII.
καθάπερ] γὰρ ὁ τῶν τεθηλ[ότω]ν ἀσταχ[ύ]ων καρπὸς ἵνα μηκέτι πλαδᾷ φρύγεται. τ[οῦτο δ']
οὐκ ἄνευ πυρὸς πέφυκεν συμβαίνειν · οὕτως καὶ τὴν νέαν πρὸς ἀρετῆς ἀκμὴν ἀνάληψιν
δυνατῷ καὶ ἀνικήτῳ λόγῳ χρὴ πάγιον καὶ σταθερωτάτην ἀπεργάζεσθαι · πέφυκεν δὲ ὁ λόγος
οὐ μόνον πέπτειν ἐν ψυχῇ τὰ θεωρήματα διαῤῥεῖν αὐτὰ κωλύων · ἀλ[λὰ] καὶ τὴν τοῦ
ἀλόγου · πάθους ὁρμὴν εὐτόνως ἐγλύειν . ἴδων γέ τοι τὸν ἀσκητὴν Ἰακὼβ ἕψοντα αὐτήν · 30
ὅτε καὶ Ἡσαῦ ἐγλίπων εὐθὺς εὑρίσκεται · θεμέλιος γὰρ τῷ φαύλῳ κακία καὶ πάθος · οἷς
ἐπερηρεισμένος ὅταν ἐξηττημένα καὶ παρειμένα ὑπὸ τοῦ αἴρουντος αὐτὰ λόγου θεάσηται.

1. καὶ νέου. — 2. Pap. παραλελυθος. — Om. τε. — 3. ἀναστήσῃ. — 7. Pour Μωσεῖ — 8. πρεσβ. εἰς. — Om. ἄν. — 9. Pap. εἰωθωτος. — 10. Pap. παλαιας. — 13. ἀφνίδ. ἐπιλάμψηται. — 14. ἐργάζεται. — 16. Pap. ετι. — 17. παλαιόν au lieu de πολιόν. — 18. γράμμασι au lieu de πράγμ. — 19. Pap. προτερον. — 20. Pap. αντειλη. — 21. ὁ θ. — 22. Pap. υπερεοντα. — 23. καλεῖν αὐτόν. — Pap. αμ. ετι. — θν. ὑφηγήσεων ἀνασχέσθαι. — 24. πεφρυγμένη. — 27. Pap. πορος. — οὕτω τὴν ν. — 29. Pap. πηπτ. διαρειν. κολ. — 38. Pap. ευτων. — ἴδε. — 31. ὁπότε κ. — γὰρ τῶν φιλαύτων κακ.

κατὰ τὸ εἰκὸς ἐγλύεται τοὺς ἰσχύος δεσμούς · ἔστω δέ ὁ λόγος μὴ συγκεχυμένος ἀλλὰ
εἰς οἰκείους τετμήσθω τομάς · τὸ χίδρα ποιῆσαι τοιοῦτόν ἐστιν · ἐν ἅπαντι μὲν γὰρ
ἀταξίας ἄμεινον ἡ τάξις · μάλιστα δὲ [ἐν ὀξ]ύτατα ρεούσῃ φύ[σει τῷ] λόγῳ · διαιρε[τέον
Col. b. οὖν] αὐτὸν εἰς κεφάλ[αι]α [προηγούμενα τὰ λ]εγόμενα [ἐμπίπτοντα] καὶ ἐφαρμο[στέον]
5 ἑκάστῳ τὰς οἰκείους κατασκευὰς μειμουμένους τοὺς ἀγαθοὺς τῶν τοξοτῶν. οἱ σκοπόν τινα
προθέμενοι. τὰ βέλη π[άν]τα ἐπ' αὐτὸν ἀφιέναι πειρῶνται · σκοπῷ μὲν γὰρ τὸ κεφάλαιον.
βέλεσιν δὲ ἔοικεν ἡ κατασκευή · οὕτως τὸ πάντων ἄριστον ἐσθημάτων ὁ λόγος ἁρμονίως
συνυφαίνεται καὶ γὰρ τὰ πέταλα χρυσίου κατατέμνει ὁ νομοθέτης εἰς τρίχας · ὥστε συνυ-
φῆναι τὰ οἰκεῖα · ἐπιμόνως οὕτως ὁ τιμιώτερος χρυσοῦ λόγος ποικιλμάτων ἐκ μυρίων
10 ἰδεῶν ἐπαινετῶς τελεσιουργεῖται · ὅταν ἄχρι τῶν λεπτοτάτων κεφαλαίων τμηθεὶς τρόπον τινὰ
νήματος δέξηται καθάπερ κρόκην ἀποδείξεις ἁρμονίους · προστέτακται μέντοι καὶ τὸ ὁλο-
καύτωμα δείραντας εἰς μέλη διανέμειν · ὑπὲρ τοῦ πρῶτον μὲν γυμνὴν ἄνευ σκεπασμάτων
ὅσα περιποιοῦσιν αἱ κεναὶ καὶ ψευδεῖς ὑπολήμψεις τὴν ψυχὴν φανῆναι · εἶτα δέξασθε διαι-
ρέσεις ἐμμελεῖς τὸ γὰρ ὅλον καὶ ἐν γενέσει ἡ ἀρετὴ καὶ τὰ εἴδη. τὰ προσεχῆ τέ[μν]εται ·
Pag. LXXVIII. 15 φρόνησιν κ[αὶ σ]ωφροσύν[ην] καὶ ἀνδρίαν ἵ[να] τὰς κ[αθ' ἕκαστον] εἰδότες δι[αφορὰς ἑκούσιον]
ὑπομένωμεν λατρείαν] καὶ καθ' ὅλα καὶ κατὰ μ[έρη σκοπῶμεν δὲ ὅπως τήν τε ψυχὴν
γυμνάσομεν μὴ ὁλοσχερέσι καὶ ἀτυπώτοις φαντασίαις ὑπὸ συνχύσεως ἀπατᾶσθαι · τομὰς δὲ
καὶ διαιρέσεις ποιουμένην τῶν πραγμάτων · διακύπτειν εἰς ἕκαστον · ἐραυνᾶν μετὰ πάσης
ἀκριβίας · λημψομένην τόν τε λόγον ὡς οὐκ ἀτάκτῳ ῥύμῃ φερόμενον · ἀσάφειαν εἰργάσή-
20 ται · τμηθεὶς δὲ εἰς τὰ οἰκεῖα κεφάλαια καὶ τὰς εἰς ἕκαστον ἀποδείξεις. ὥσπερ ζῶον ἐκ
τελείων μερῶν συμπαγεὶς ἁρμοσθήσεται · χρὴ δὲ εἰ μέλλει ταῦτα παρ' ἡμῖν αὐτοῖς βεβαιοῦ-
σθαι. μελέτην καὶ ἄσκησιν αὐτῶν ποιεῖσθαι συνεχῆ ὡς τό γε ἁψαμένους ἐπιστήμης μὴ
ἐπιμεῖναι. ὅμοιόν ἐστιν τῷ γευσαμένους σιτίων ἢ ποτῶν εἰς κόρον κωλυθῆναι τραφῆναι ·
μετὰ τὸ χίδρα οὖν ἁρμόττει ποιεῖν ἐρικτά · τοῦτ' ἐστὶν μετὰ τὴν διαίρεσιν διατρίβειν καὶ
25 ἐνσχολάζειν τοῖς ἐπινοηθεῖ[σι ·] συνεχὴς γὰρ ἄσκησις [ἐπ]ιστήμην πάγιον ἐργάζε[ται] ὡς
C. I. b. ἀμαθίαν ἀμελετησία μ[υρίοι οὖν ἀθλήσεως] ὄκνω καὶ τὴν ἐκ φύσεω]ς ἰσχὺν ἐξέλυσ[αν ο]ὓς
[ο]ὐ[κ] ἐμειμ[ήσ]αντο οἱ τρ[οφ]ῇ θείᾳ τὴν ψυχὴν [τρα]φέντες · τῷ λεγομένῳ μάννα οὗτοι γὰρ
ἤλουν καὶ ἔ[τρ]ι[β]ον αὐτὸ ποιοῦντες ἐγκρ[υφ]ίας τὸν οὐράνιον ἀρετῆς λόγον · ἀνατρίβειν
καὶ ἐπιλεαίνειν ἕνεκα τοῦ τυπῶσαι βεβαιότερον τὴν διάνοιαν ἐγνωκότες · ὅταν οὖν νέα τὴν

2. οἰκείας τεμνέσθω. — 3. ἀμείνων. — 5. οἰκείας — Pap. Om. κατασκεύας et le remplace par καί. — La ligne μειμ. est en surcharge dans le Pap., ce qui explique aussi l'oubli de κατασκεύας et son changement en καί. — 7. οὕτω... μαθημάτων pour ἐσθημ. — Pap. αρμων. — 8. συνυφᾶναι. — χρυσίου. — 9. ἐκ ποικιλμάτων. Pap. πυκιλμαων. — καὶ μυρ. ἴδ. ἐπαιν. (Pap. επανετως). — 11. ἐναρμονίους. — 12. Pap. διανειμαι — 13. Pour δεξασθαι. — 14. καὶ ἔν ἐστιν ἡ ἀρ. ἢ κατὰ εἴδη. — 15. σωφρ δικαιοσύνην καὶ ἀνδρ. — 16. Om. τε. — 17. Pap. ατυυπωτοις, — Pap. συνχυτως. — 18. καὶ ἐρευνᾶν μετ. — 19. ὃς οὐκ ἀτ. — φερόμενος. — ἐργάσεται. — 23. γεύσασθαι. — καί ποτ. — 24. μετὰ τὰ χ. — ἐνδιατρίβειν. — 27. οἱ προφηθείᾳ. — 29. ἐπιλ. ἕκαστος ἕνεκ. ... βεβαιοτέραν διάν.

ἀκ[μὴν] καὶ πεφυρμένα τὸν περιπ[επυ]ρωμένον καὶ ἀν[ίκη]τον λό[γον] καὶ χ̣ίδρα τὴν τομὴν
καὶ διαίρεσιν τῶν πραγμάτων · καὶ ἐρικτὰ τὴν τριβὴν καὶ μελέτην τῶν ἐπιν[οη]θέντων
ὁμολογῆς κατὰ θεὸν πρωτογενημάτων οἴσεις θυσίαν ὧν πρῶτον καίριστων ἐγέννησεν ἡ ψυχή ·
> κἂν ἡμεῖς μ[έν]τοι βραδύνωμεν αὐτὸς οὐ βραδύν[ει] τοὺς ἐπιτηδείους πρὸς [θερα]πείαν λαβεῖν
> ἑαυτῷ · λήμψομαι γὰρ φησὶν [ὑ]μᾶς ἐμ[αυ]τῷ λαῷ ἐμοί · καὶ ἔσομα[ι ὑ]μῶν θεός · καὶ
> ὑμεῖς ἔσεσθέ μοι λαός · ἐγώ εἰμι κύριος · τὰ μὲν δὴ τοῦ Κάϊν μεθ' ἡμέρας φέροντος
θυσίαν ἐγκλήμα[τ]α τοιαῦτα ἦν · Ἄβελ δὲ ἤ[νεγ]κεν οὐ τὰ αὐτά · οὐ δὲ τὸν αὐ]τὸν τρό-
πον · ἀλλ' ἀντὶ [ἀψύ]χων ἔμψυχα ἀντὶ [δὲ νεωτέρων] καὶ δευτερείων πρεσβύτερα καὶ Pag. LXXIX.
πρῶτα · ἀν[τὶ δὲ ἡσ]θενηκότων ἐρρωμένα καὶ πιότερα ἀπὸ γὰρ τῶν πρωτοτόκων τῶν
προβάτων αὐτοῦ καὶ ἀπὸ τῶν στεάτων αὐτῶν φησὶν τὴν θυσίαν ποιήσασθαι · κατὰ τὸ
ἱερώτατον διάταγμα · ἔστιν δὲ τοιόνδε · καὶ ἔσται φησὶν ὡς ἂν εἰσαγάγῃ σε κυρίος ὁ θεός
σου εἰς τὴν γῆν τῶν Χαναναίων · ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου · καὶ δώσω σοὶ καὶ
ἀφ[ελ]εῖς πᾶν διανοῖγον μήτραν. τὰ ἀρσενικὰ τῷ κυρίῳ · πᾶν διανοῖγον ἐκ τῶν βουκολίων
ἐν τοῖς κτήνεσιν · ὅσα ἂν γένηταί σοι · τὰ ἀρσενικὰ κυρίῳ · πᾶν διανοῖγον μήτραν ὄνου
ἀλλάξεις προβάτῳ · ἐὰν δὲ μὴ ἀλλάξῃς λυθρώσῃ αὐτό · τὸ γὰρ διανοῖγον μήτραν τὸ Ἄβελ
δῶρόν ἐστι τὸ πρωτότοκον · ὃ πότε καὶ πῶς δεῖ φέρειν · ἐρεύνησον · καιρὸς μηδὲ ἐπιτη-
δείστατος · ὅταν εἰσαγάγῃ σε ὁ θεὸς εἰς τὸν σαλεύοντα λόγον τὴν τῶν [Χα]ναναίων γῆν ·
οὐχ ὃν τύχοι τρόπον · ἀλλ' ὃν ὤμοσεν αὐτός · οὐχ ἵνα σάλον καὶ τροπὴν καὶ κλύδωνα
ὧδε κἀκεῖσε φορούμενος. ἀστάτως ὑπομένῃς · ἀλλ' ἵνα τοῦ σάλου παυσάμενος · αἰθρίαν
[καὶ γαλήνην ἄγ]ῃς · καὶ ὥσπερ [εἰς] ὑπόδρομον [ἢ ὕφορμον ἢ] ναυλοχ̣ώτατον λιμ[ένα τὴν 20 Col. b.
ἀρε]τὴν ἀφικόμενος βεβαίως ἱδρυθῇς · ὅταν δὲ λέγῃ τὸν θεὸν ὀμνύναι σκεπτέον εἰ πρὸς
ἀλήθειαν ὡς ἐπιβάλλον αὐτῷ τοῦτο ἀποφαίνεται · ἐπὶ μυρίοις ἔδοξεν ἀνοίκειον εἶναι · ὅρκου
γὰρ ἔννοιά ἐστιν · μαρτυρία θεοῦ περὶ πράγματος ἀμφισβητουμένου · θεῷ δὲ οὐδὲν ἄδηλον ·
οὐδὲ ἀμφισβητούμενον · ὃς καὶ τοῖς ἄλλοις τὰ γνωρίσματα τῆς ἀληθείας ἐναργῶς ἐπιδέδει-
χεν · μάρτυρός γε μὴν οὐδενὸς δεῖται · οὐδὲ γάρ ἐστιν ἄλλος θεὸς ἰσότιμος αὐτῷ. ἐῶ
λέγειν ὅτι ὁ μαρτυρῶν. παρόσον μαρτυρεῖ κρείττων ἐστὶ τοῦ ἐκμαρτυ[ρου]μένου · ὁ μὲν
γὰρ δεῖται · ὁ δ[ὲ ὠ]φελεῖ · τὸ δὲ ὠφελοῦν ἀξιηκότερον ἀεὶ τοῦ δεομέ[νου] ἄμεινον δὲ
οὐδὲ ἐπινοῆσαι θέμις τοῦ αἰτίου · ὁπότε οὐδὲ ἴσον αὐτοῦ · ἀλλ' οὐδὲ ὀλίγῳ καταδεέστερον ·
ἀλλ' ὅλῳ γένει καταβεβηκὸς ἅπαν τὸ μετὰ θεὸν εὑρίσκεται · τοῦ γε μὴν πιστευθῆναι χ̣άριν
ἀπιστούμ[ενοι] καταφεύγουσιν ἐφ' ὅ[ρκον] ἄνθρωποι · ὁ δὲ θεὸς [καὶ λέγων πιστός] ἐστιν · 30 Pag. LXXX.
ὥσται καὶ [τοὺς λόγους] αὐτοῦ βεβαιότητ[ος ἕνεκα μ]ηδὲν ὅρκων διαφέρειν · καὶ [συμ]βέβη-
κεν τὴν μὲν ἡμετέραν γνώμην ὅρκῳ τὸν δὲ ὅρκον αὐτὸν θεῷ πεπιστῶσθαι · οὐ γὰρ δι'

1. πεφρυγμενα. — Om. περι. — 3. Lire κάρις. — 5. λαόν καὶ ἔσομ. — 6. Pap. εσεσθαι. — 9. Pap. ποτερα. — 10. ποιεῖσθαι. — 11. Om. κυρίος. — 12. δ. σ. αὐτὴν κ. ἀφ. — 13. Om. de τὰ ἀρσ. à διανοῖγον inclus. — 15. προβάτου. — Pap. om. de τὸ γὰρ à πρωτότ. inclus. — 16. μὲν δὴ ἐπιτηδειότατος ὅταν εἰσάγῃ. — 21. Pap. ωμν. — 22. Pour ἐπεὶ. — 26. Om. ἐκ. — 27. ἀξιοπιστότερόν ἐστι τ. δ. — Om. ἀεὶ. — 28. Pap. ουτε (ισ.) — Om. αὐτοῦ. — 29. τοῦ τε. — 31. Pour ὥστε.

ὅρκων πιστὸς ὁ θεὸς · ἀλλὰ δι' αὐτὸν καὶ ὁ ὅρκος βέβαιος · τί οὖν ἔδοξεν τῷ ἱεροφάντῃ παρεισαγαγεῖν αὐτὸν ὀμνύντα ἵνα τὴν ἀσθένειαν διελέγξῃ τοῦ γεννητοῦ · καὶ διελέγξας ἅμα παρηγορήσῃ · οὐ γὰρ δυνάμεθα διηνεκῶς τὸ ἄξιον τοῦ αἰτίου κεφάλαιον ἐν ψυχῇ ταμιεύεσθαι τῇ ἑαυτῶν · τὸ οὐχ ὡς ἄνθρωπος ὁ θεός · ἵνα πάντα τὰ ἀνθρ[ω]πολογούμενα ὑπερκύψω-
5 μεν · ἀλλὰ πλεῖστον ἀπέχοντ[ες τ]οῦ θνητοῦ καὶ χωρὶς ἑ[αυτῶ]ν ἐπινοῆσαι μηδὲν δ[υν]ά-μενοι · μηδὲ ἐκβῆναι τὰς ἰδίας κῆρας ἰσχύοντες · ἀλλ' εἰς τὸ θνητὸν εἰσδυόμενοι καθάπερ οἱ κοχλίαι · καὶ περὶ ἑαυτοὺς ὥσπερ ἐχῖνοι σφαιρηδὸν εἰλούμενοι · καὶ περὶ τοῦ μακαρίου καὶ ἀφθάρτου τὰ αὐτὰ καὶ περὶ ἑαυτῶν [δο]ξάζωμεν · τὴν μὲν ἀτοπείαν τοῦ λόγου
Col. b. ὅ[τι ἀνθρ]ω[πόμ]ορφον [τὸ] θεῖον ἀπο[διδράσκοντες τὴν δὲ ἐν[τ[οῖς ἔργοις ἀσέβειαν ὅτι ἀν]-
10 θρ[ωποπαθὲς ἐπανορθού]με[νοι · διὰ τοῦτο χεῖρας πό]δας [εἰσόδους ἐξόδους ἔ]χθρας · ἀποστροφὰς ἀλλοτριώσεις · ὀργὰς προσανα[πλάττ]ωμεν ἀνοίκεια καὶ [μέρη] καὶ πάθη τοῦ αἰτίου ὧ[ν ἐστιν] καὶ ὁ ὅρκος τῆς ἡμετέρας ἐπίκουρος ἀσθενείας · ἐὰν οὖν δῷ σοι ὁ θεὸς ἃ θέλεις λέγει Μωϋσῆς ὁριζόμενος μὴ δόντος γὰρ οὐχ ἕξεις · ἐπὶ πάντα αὐτοῦ κτήματα · καὶ τὰ ἐκτὸς καὶ τὸ σῶμα καὶ ἡ αἴσθησις καὶ ὁ λόγος καὶ ὁ νοῦς καὶ αἱ πάντων ἐνέργειαι καὶ
15 οὐ σὺ μόνος ἀλλὰ καὶ ὅδε ὁ κόσμος · ὅ τι ἂν ἀποτέμνῃ καὶ αἱρῇ τοῦτ' ἀλλότριον εὑρήσεις · καὶ γὰρ γῆν καὶ ὕδωρ καὶ πνεῦμα καὶ οὐρα[νὸν] καὶ ἀστέρας καὶ ζώων κα[ὶ φυ]τῶν ἄφθάρτων τε καὶ φθ[αρ]τῶν ἰδέας ἁπάσας οὐκ [ἴδια] κέκτηται · ὥσθ' ὅ τι ἂν αὐτῶν ἱεροῦ τρόπον προσάγῃ δὴ τὸ θεοῦ προσάξῃ κτῆμα. οὐ τὸ ἑαυτοῦ · παρατήρει δὲ ὡς πάνυ εὐαγῶς ἀπὸ τῶν δοθέντων. ἀφειλεῖν διείρηται · οὐχ ὅλα προσάγειν τὰ δοθέντα · μυρία γὰρ ἡμῖν
Pag. LXXXI. 20 ἡ φύ[σις ἐπ]ιβάλλ[οντα ἀνθρώπων γένει δεδώρηται] ὧν [ἀμέτοχος ἁπάντων] ἐστὶν αὕτη · γέννησιν ἀγένητος ο]ὖσα. [τροφὴν τροφῆς οὐ δεομ]ένη αὔξησιν ἐν ὁμοίῳ] μένουσα · [τὰς κατὰ χ]ρόνον ἡλικίας ἀφαί[ρεσιν] ἢ πρόσθεσιν οὐκ ἐπιδεχομένη · σῶμα ὀργανικὸν ὃ λαβεῖν οὐ δύναται · προελθεῖν · ἰδεῖν · ἀκοῦσαι · προσενέγκασθαι τροφήν · τὴν ἐ[ξ]ικμασθεῖσαν ἀποπέμ[ψασ]θαι · πάλιν ἀτμῶν ἐπικρῖναι διαφορὰς · λόγῳ χρήσασθαι γεγωνῷ : πολλὰ καὶ
25 ἄλλα τῶν εἰς τὰς ἀναγκαίας ἅμα καὶ ὠφελείμους ὑπηρεσίας ἔνεστι · ἀλλὰ ταῦτα μὲν ἀδιάφορα ἄν τις εἴποι · τὰ δὲ ὁμολογούμενα ἀγαθὰ δεῖν ἀνῆφθαι τὴν φύσιν · φέρ' οὖν ἐξετάσωμεν καὶ τῶν πρὸς ἀλήθειαν ἀγαθῶν τὰ μάλιστα παρ' ἡμῖν θαυ[μα]ζόμενα · ὧν ἁπάντων μὲν τυχεῖν κατὰ κ[αι]ροὺς τοὺς ἁρμόζοντας εὐχόμεθα · τυχόντες δὲ εὐδαιμονέστατοι νομιζόμεθα · τίς οὖν ἀγνοεῖ ὅτι εὐγηρεία καὶ [εὐθανα]σία μέγιστα τῶν [ἀνθρω]πείων ἀγαθῶν
Col. b. 30 ἐστὶν ὧν οὐθ]ετέρου κοινω[νὸς ἡ φύσι]ς · ἀγήρως τε καὶ [ἀθάνατος] οὖσα · καὶ τί παράδοξον εἰ τὸ ἀγένητον γεννητῶν ἀγαθοῖς οὐκ ἀξιοῖ προσχρῆσθαι · ὁπότε καὶ τὸ γενόμενον

2. γεννητοῦ. — 3. ταμιεῦσαι. — 4. ἅπαντα. — 5. μετέχοντες. — αὐτῶν. — μήτε. — 6. Pap. ιδιους (fréquent). — Pap. τὸν θν. — 7. περὶ αὐτούς. — Turn. ὥςπερ ἐκεῖνοι. — Pap. φαρηδον. — 8. Om. τὰ αὐτά δοξάζομ. — 11. προσαναπλάττομ. — Om. καὶ (μ.) — 12. ἀσθ. ἐπικ. — Om. οὖν. — δώσῃ. — Pap. αφελεις pour θέλ. — 13. Pour ἐπεί. — 15. ἐνέρ. καὶ οὐσίαι καὶ οὐ σὺ μόν. Pap. σοι pour σύ. — καὶ ὅ τι. — διαιρῇ. — 17. Pap. ω θ'. — ἱερείου. — 18. Om δή. — Pap. προσαξει. — 21. Pap. ουσαν. — 22. Pap. ω λαβειν ωι δουναι προηλθεν. — 24. γέλωτα. (Pap. γεγονω). — 25. Om. τάς. — 29. ἀνθρωπίνων.

αὐτὸ κατὰ τὰς τῶν ἰδεῶν εἰς ἃς τέμνεται διαφοράς. ἀνομοίων μεταποιεῖται ἀρετῶν · ἄνδρες
γοῦν γυναιξίν. οὐδὲ γυναῖκες ἀνδράσ[ιν] ἀμιλλήσαιντο ἄν. περὶ ὧν μόνοις τοῖς ἑτέροις ἁρμόττει προσεῖναι · ἀλλ' αἱ μὲν γυνάνδρων. εἰ ζηλώσαιεν τὰ ἀνδρῶν. οἱ δὲ ἀνδρωγύνων εἰ
τοῖς γυναικῶν ἐπιτίθοιντο ἐπιτηδεύμασι · δύσκλειαν οἴσονται · ἐνίας δὲ ἀρετὰς ἡ φύσις
οὕτως διακέκρινεν ὡς. μηδὲ ἐξ ἐπιτηδ[εύσ]εως εἰς κοινωνίαν ἀχ[θῆναι] δύνασθαι τὸ γοῦν 5
σπείρειν καὶ γεν[νᾶν] κατ' ἀρετὴν ἀνδρῶν ἴδι[ον] οὐκ ἂν εὕροι τοῦτό γε γυνή · καὶ μὴν
ἀγαθὸν οὖσαν γυναικῶν εὐτοκίαν. ἀνδρὸς οὐ δέχεται φύσις · ὥστε οὐδὲ τὰ ὅσα ἀνθρώποις ἐπὶ
θεοῦ κυριολογῖται. κατάχρησις δὲ ὀνομάτων ἐστὶν παρηγοροῦσα [τὴν ἡ]μετέραν ἀσθένειαν
[ἀφελεῖς οὖν ὦ ψυχὴ πᾶν γεν[η]τὸν θνη[τὸν] μεταβλητὸν βέβηλον ἀ[πὸ ἐν]νοίας τῆς περὶ Pag. LXXXII.
θεοῦ τοῦ ἀγε[νήτ]ου καὶ ἁγίου καὶ μόνου μακαρίου · τὸ δὲ παντὸς διανοίγοντος μήτραν τὰ 10
ἀρσενικὰ τῷ κυρίῳ. φυσικώτατα ἔχει · ὥσπερ γὰρ ταῖς γυναιξὶ πρὸς ζώων γένεσιν οἰκειοτάτων μέρος ἡ φύσις ἔδωκεν μήτραν · οὕτως πρὸς γένεσιν πραγμάτων ὥρισεν ἐν ψυχῇ
δύναμιν · δι' ἧς κυοφορεῖ καὶ ὠδίνι καὶ ἀποτίκτει πολλὰ διάνοια · τῶν δὲ ἀποκυουμένων
ἐννοημάτων. τὰ μὲν ἄῤῥενα τὰ δὲ θήλεα . καθάπερ ἐπὶ ζώων εἶναι συμβέβηκεν · θῆλυ μὲν
οὖν ἔγγονον ψυχῆς ἐστὶν κακία [κ]αὶ πάθος · οἷς καθ' ἕκαστον τῶν [ἐπιτ]ηδευμάτων ἐκθηλυ- 15
νό[μεθ]α · ἄῤῥεν δὲ εὐπάθεια καὶ [ἀρετ]ὴ · ὑφ' ὧν ἐγειρόμεθα καὶ [ῥω]ννύμεθα · τούτων δὲ
τὴν [μὲ]ν ἀνδρωνῖτιν ἐστι ἂν πᾶσαν ἀνιερωτέον θεῷ τὴν δὲ γυναικωνῖτιν ἀπονεμητέον ἑαυτοῖς · διὸ καὶ προστέτακται πᾶν διανοῖγον μήτραν τὰ ἀρσενικὰ τῷ κυρίῳ ἀλλὰ καὶ παντὸς
φησὶν διανοίγον[το]ς μήτραν ἐκ τῶν βουκο[λίων ἐ]ν τοῖς κτήνεσι ὅσα [ἂν] γ[ένν]ηταί σο[ι τά Col. b.
ἀρσενικὰ τῷ κυρίῳ εἰπ]ὼν [περὶ τῶν τοῦ ἡγεμονικοῦ γεννημάτων ἄρχεται διδάσκειν καὶ 20
περὶ τῶν τοῦ ἀλόγου ὅπερ αἱ αἰσθήσεις κεκλήρωνται ἃς κτήνεσι]ν ἀπεικάζε θρεμ[μάτ]ων δὲ
ὅσα ἐν βουκολίοις [ἀνατρέφ]ετ[αι] τιθασὰ καὶ χειρο[ήθη] ἅ[τε ὑ]πὸ ἐπιστάτου φροντί[δος ἀγό]μενα βουκόλου. τὰ μὲν γὰρ [ἄφε]τα καὶ ἀπελευθεριάζον[τα] ἐρημία τοῦ πραϋ[νον]τος ἐξαγριαίνεται · ὧν [δὲ ἡ]γεμό[νες] αἰπόλοι βουκόλοι νομῆς τ[ῶν] καθ' ἕκαστον εἶδος ἐπιστάται
ζώων. ταῦτ' ἐξ ἀνάγκης ἡμεροῦται · πέφυκεν οὖν καὶ τὸ αἰσθή]σεων γένος τῇ μὲν ἀτίθασον 25
τῇ δ' εἶναι χειρόηθες · ἀ[τίθ]ασον μὲν ὅταν ἀφην[ιάσα]ν ὥσπερ βουκόλου το[ῦ νοῦ] φέρη-
[ται] πρὸς τὰ ἐκτὸς ἀλόγως αἰσ[θητὰ] ἥμερον δὲ ὅτὰν ὑπεῖξ[αν] πειθηνίῳ τῷ τοῦ συγκ[ρί]ματος ἡγεμόν[ι λογισμῷ] κυβ[ερν]ᾶται δὲ καὶ ἡνιοχῆται πρὸς αὐτοῦ · ὅσα μὲν οὖν
ἐὰν εἴδῃ ἢ ἀκούσῃ ἢ συνόλως αἴσθηται κατὰ τὴν ἐπι[κέ]λευσιν τοῦ νοῦ. π[άντα ἐστὶν]
ἄῤῥενα καὶ τέλεια προσγίνεται γὰρ ἑκάστῳ τὸ εὖ · ὅσα δὲ] χω[ρὶς ἡγεμόνος ὑπὸ ἀναρ- Pag. LXXXIII.
χ]ίας [ὥσ]περ π[όλιν τὸ σῶ]μα ἡμῶν διόλλυσιν [πάλιν οὖ]ν καὶ τῶν [αἰσθή]σεων τὰς ἐπο-

1. Pap. ιδων. — 2. γοῦν οὐ γυν. — 3. Pap. αλ αι μεν. — 4. ἐπίθοιντο. — ἀρ. οὐχ ἡ φύσ. — 5. Pap. δυναθαι. — 7. ἀνδρῶν. — 8. Pap. παρηγορουσαν. Var. κατηγοροῦσα. — 10. ἁγ. καὶ ἀφθάρτου καὶ ἀτρέπτου καὶ ἁγ. — 11. φυσικώτατον θύειν · ὥσπ. — Pap. οκειωτ. Var. οἰκειότατον. — 12. Pap. προ. — 13. Pour ὠδίνει. — ἀποκυομένων νοημάτων. — 17. Om. ἔστι ἂν. Turn. signale notre variante. — ἅπασαν. — 21. ἀπεικάζει — 24. Pour νομεῖς. — 26. μὲν οὖν ὅτ. — 27. πειθηνίως. — 28. κυβ. τε. — Pap. ηνιοχανται. — 29. ἂν ἴδῃ.

μένας τῷ [νῷ] κεινήσεις · αἵπερ ἐξ ἀνάγ[κης ἀμείνο]υς εἰσίν. ὁμολογιστέον κατὰ θεὸν συμβαίνειν · τὰς δὲ ἀφηνιαζούσας ἀναθετέον ἑαυτοῖς · ἀλόγως ὑπὸ τῆς τῶν ἑκτὸς αἰσθητῶν φορᾶς ἀγομένοις · ἀλλ' οὐ μόνον ἀπὸ τούτων · ἀλλὰ καὶ ἀπὸ τοῦ φυρά[μα]τος ὅλου προστέταχεν ἀφερεῖν · ἡ δὲ πρόσταξίς ἐστιν τοιάδε · καὶ ἔστω ὅταν ἐσθίητε ἀπὸ τῶν ἄρτων
5 > τῆς γῆς ἀφαιρεῖται ἀφαίρεμα ἀφόρισμα τῷ κυρίῳ ἀπαρχὴν φυράματος [ὑμῶ]ν · ἄρτον ἀφαί-
> ρεμα [ἀφ]αιρεῖτε αὐτόν · ὡς ἀφαίρεμα [ἀ]πὸ ἅλωνος οὕτως ἀφαιρεῖ[τε] τὸ τοίνυν φύραμα
> κυρίως [εἰ] χρὴ τἀληθὲς εἰπεῖν ἡμεῖς ἔσμεν αὐτοί · συνπεφορημένων καὶ συγκεκριμένων πλεί-
στων οὐσιῶν · ἵνα ἀποτελεσθῶμεν · ψυχρὸν γὰρ θερμῷ καὶ ξηρὸν ὑγρῷ δυνάμεις ἐναντίας
Col. b. ἀναμείξας καὶ ἀνακα[ρασ]άμενος ὁ ζωοπλάστη[ς ἓν ἐκ πασῶ]ν ἕκαστον ἡμῶν ἀπειργάζετο συμ-
10 φόρημα · ἀφ' οὗ καὶ φύραμα εἴρηται · τούτου τοῦ συμφορήματος ψυχὴ σῶμα δύο τὰ ἀνωτάτωι τμήματα κεκλήρωται · τὰς ἀπαρχὰς ἀνιερωτέον · ἀπάρχεται δὲ ἂν αἱ κινήσεις αἱ κατ' ἀρετὴν ἑκατέρου · διὸ καὶ ἅλῳ παραβέβληται · καθάπερ οὖν ἐν ταῖς ἁλωαῖς εἰσὶν πυροὶ καὶ κριθ[αὶ] καὶ ὅσα τοιαῦτα καθ' ἑαυτὰ χωρίζεται ἀθέρες καὶ ἄχυρα καὶ εἴ τις ἄλλος φορυτὸς ἑτέρωσει σκίδναται. οὕτως καὶ παρ' ἡμῖν τὰ μέν ἐστιν ἄριστα καὶ ὠφέλιμα καὶ τὰς ἀλη-
15 θείας τροφὰς παρέχοντα · δι' ὧν ὀρθὸς ἀποτελεῖται βίος · ἅπερ ἀναθετέον θεῷ · τὰ δὲ ἄλλα ὅσα μὴ θεῖα ὑποληπτέον ὥσπερ σκύβαλα γένει τῷ θ[νητῷ ·] ἀπὸ μὲν τούτων ἀφερε[τέον ·] εἰσὶν δυνάμεις ἀμιγεῖς κ[ακί]ας οὐ θέμις ὅλα δι' ὅλων ἀ[κρω]τηριάζειν διαιροῦντας · αἱ ἐοικ[υῖαι] ταῖς ἀμερίστοις θυσίαις ὁλοκαυτώμασιν · ὧν ἐναργὲς παράδειγμα ὁ Ἰσαάκ · ὃν ἱερείου τρόπον ἀνάγειν προστέτακται · μηδενὸς πάθους φθοροποιοῦ μεμοιραμένον · λ[έγ]εται
20 δὲ καὶ δι' ἑτέρων τὰ δ[ῶρά μου τὴ δό]γματά μου [καρπ]ώ[ματά μου διατηρήσετε προσφ]ένειν [ἐμοὶ ἐν ταῖς ἑορταῖς μου οὐκ ἀφαιροῦντας οὐδὲ δια]νέμοντας · ἀλλ' ἔνπλεα [καὶ]
Pag. LXXXIV. ὁλόκληρα καὶ τέλεια προσ[άγο]ντας · ἑ[ορτ]ὴ γὰρ ψυχῆς ἡ ἐν ἀρεταῖς εὐφροσύνη τελείαις · τέλειαι αἱ κηρῶν ἀμέτοχοι · ἃς τὸ ἀνθρώπειον γένος χωρεῖ · μόνος δὲ ἑορτάζει τὴν τοιαύτην ἑορτὴν ὁ σοφός · τῶνδε ἄλλων οὐδὲ εἷς · ἄγευστον γὰρ παθῶν ἢ κακιῶν ψυχὴν εὑρεῖν
25 σπανιώτατον · ἀποδοὺς οὖν τὸ περὶ τῶν μερῶν τῆς ψυχῆς λόγον · ἡγεμονικοῦ τε καὶ ὑπηκόου καὶ τί ἐστιν ἐν ἑκατέρῳ τὸ ἄρρεν ἢ θῆλυ μετὰ ταῦτα περὶ τῶν ἀκολούθων ἐκδιδάσκει · σαφῶς γὰρ εἰδὼς ὅτι δίχα πόνου κ[αὶ] ἐπιμελείας οὐχ ὅόν τε γ[ενεᾶ]ς τῆς ἄρρενος ἐπιλαχεῖν. φη[σὶν] ἑξῆς · πᾶν διανοῖγον μήτραν [ὄν]ου ἀλλάξεις προβάτῳ ἴσον [τῷ] πάντα

1. Pap. ἅπερ. — λογιστέον. — 2. αἰσθήσεων. — 3. Pap. αγομενους. — 4. ἔσται. — καρπῶν au lieu de καρπ. — 5. ἀφελεῖτε ἀφαίρεμα (Pap. αφαιρετα). — Om. τῷ. — 6. ἀφελεῖτε αὐτό (Pap. αφοριειτε). — οὕτ. ἀφελεῖτε αὐτό. — 7. λέγειν pour εἰπ. — 9. μίξας. — ἀνακερασάμενος. — ἀπειργάσατο. — 10. ὃ ψ. καὶ σ. — 11. ὧν τὰς... — ἀπαρχαὶ δέ εἰσιν ἅγιαι κιν. — 12. ἐν τῇ ἅλῳ (Pap. αλης). — 14. ἑτέρωσε. — 15. ἀληθεῖς. — Pap. παρεχων avec τα en surcharge. — ὁ ὀρθ. — 16. μὲν οὖν. — 17. εἰσὶ δέ. — κακ. ὅλαι δι' ὅλων ἃς οὐ θέμις ἀκρωτ. διαροῦντας. — Om. αἱ. — 18. Pap. ἀμερίσταις. — 19. μεμοιρασμένον (Pap. μεμοιραμενοι) Turn. λελωβημένον. — 23. τέλ. δὲ αἱ κηλίδων ἀμ. ὅσας τὸ ἀνθρωπίνον (Pap. τω ανθρωπειως). — 25. λόγον est rejeté après ὑπηκόου. — 26. Pap. εκατερου. — περὶ σώματος ἀκολούθως ἐκδ. Pap. ἀκολουθουν. — 27. ὅον pour οἷον; voir Préf. — 28. Pap. προβατου.

πόνον ἀντικαταλλάττου προκοπῆς · πόνος μὲν γὰρ ὄνος · τλητικὸν γὰρ τὸ ζῶον · προκοπὴ δὲ
πρόβατον ὡς καὶ αὐτὸ δηλοῖ τοὔνομα σύμβολον · ἴθι οὖν ἐπὶ τὴν τῶν τεχνῶν καὶ τῶν ἄλλων
ἐπιτηδευμάτων ὅσα διδακ[τὰ μ]ελέτης μὴ ὀλιγώρως [μηδὲ] ῥα[θύμω]ς · ἀ[λλὰ μετὰ φροντί-
δος τῆς πάσης παρεσκευακότα τὴν σαυτοῦ] δ[ιάνοιαν ὑποσ]τῆν[αι καρτερῶς] πάντα κάματον Col. b.
καὶ σπ[ουδάσαι] μ[ὴ ὑ]πὸ ἀτελοῦς κατασχεθῆναι πόνου · προκοπὴν δὲ καὶ βελ[τί]ωσιν ἐπ 5
τὸ εὐκλεέστατον ἀγωγὰ τέλος εὑρέσθαι · προκ[ο]πῆς γὰρ χάριν οἰστὸς ὁ πόνος · ἐὰν δὲ ἄρα
σοὶ μὲν ἀναδέχῃ τὸν ἐκ τοῦ πονεῖν κάματον · ἡ δὲ φύσις μηδὲν ἐπιδιδῷ πρὸς τὸ ἄμεινον
ἐναντιουμέ[νη] ταῖς ἐκ προκοπῆς βε[λ]τειώσεσιν · μετατραπόμενος [ἠρ]έμει · χαλεπὸν γὰρ ἐναν-
τιοῦσθ[αι] φύ[σει] διὸ καὶ προστίθησει ἐὰν δ[ὲ φησὶ μὴ] ἀλλάξῃς. λυτρώσῃ αὐτὸ · [ὅπερ]
ἐστὶν ἐὰν μὴ δυνήθῃς προ[κοπὴν] ἀλλάξασθαι τοῦ πονεῖν · μέ[θες] καὶ τὸν πόνον · τὸ γὰρ 10
λυθρ[ώσα]σθαι τοιοῦτον ὑποβάλλ[ει νοῦν] ἐλευθερῶσαι τὴν ψυχὴν [ἀνη]νύτου καὶ ἀτελοῦς
φρον[τίδος ·] λέγω δὲ ταῦτα οὐ περὶ [τῶν ἀ]ρετῶν · ἀλλὰ περὶ μέσων τεχ[ῶν] · καὶ τῶν
ἄλλων περί τε σώματος ἐπιμέλεια[ν καὶ] τὴν τῶν ἐκτός · περιουσί[αν] πραγματεύονται ·
ἐπεὶ [δὲ ὅ] γε περὶ ἀγαθῶν καὶ καλῶν τελείων πόνος. κἂν ὑστερ[ίζῃ] τοῦ τέλους [ἱκανος ἐ]ξ
αὐτοῦ προω[φελῆσαι] τοὺς χρωμένους [τὰ δὲ] ὅσα ἐκτὸ[ς ἀρετῆς ἐὰν μὴ προσ]γένηται τὸ Pag. LXXXV.
π[έρας ἀνωφ]έληται πάντα · ὥσπερ ἐπὶ ζώων ἐὰν ἀφέλῃς κεφαλὴν οἴχεται τἄλλα · κεφαλὴ
δὲ πραγμάτων ἐστὶν τὸ τέλος αὐτῶν · ἃ ζῇ μὲν τρόπον τινὰ ἐφαρμοζομένου · θνήσκει
δὲ ἐὰν ἐκτεμεῖν καὶ ἀκρωτηριάζειν θέλῃς ὥστε ἀθληταὶ μὴ δυνάμενοι νικηφορεῖν. ἀεὶ
δὲ ἡττώμενοι καταλυέτωσαν · καὶ εἴ τις ἔμπορος ἢ ναύκληρος θαλαττεύων ἐπαλλήλοις
κακο[πραγ]ίαις χρῆται. μετατραπόμ[εν]ος ἠρεμείτω · ὅσοι δὲ τὰς μ[έσ]ας ἐπιτηδεύσαντες 20
τέχνας μηδὲν ἐδυνήθησαν διὰ σκληρότητα φύσεως μάθημα παραδέξασθαι. ἐπενεοὶ κατα-
λύοντες · οὐ γὰρ ἕνεκα ἀσκήσεως ἀσκεῖται τὰ τοιαῦτα · ἀλλὰ τοῦ πρὸς ὃν ἀναφέρεται
σκοποῦ · [ἐὰ]ν οὖν ἐμποδοστατῇ πρὸς τὰς [ἀμεί]νους φύσις. μὴ ἀνόνητα [ἀντι]τείνομεν · συν-
πραττού[ση]ς δὲ ἀπαρχαῖς καὶ τιμαῖς γεραίρωμεν τὸ θεῖον · αἱ λύθρα τῆς ἡμετέρας ψυχῆς
εἰσιν · δεσποτῶν ἀνημέρων αὐτὴν ἀπαλλάττουσαι · καὶ εἰς ἐλευθερίαν ἐξαιρούμεναι · καὶ 25
τοὺς λευ[ΐτας] ὁμολογεῖ Μωϋσῆς τοὺς [ἀντὶ τῶν πρ]ωτοτόκων [γενομέ]νο[υς] θεραπευτὰς τοῦ
> [μόνου ἀξίου θεραπε]ύεσθαι. λύτρα τῶ]ν ἄλλων ἁπάντων εἶνα[ι καὶ ἐ]γὼ γὰρ φησὶν ἰδ[οὺ Col. b.
> ε]ἴληφα τοὺς λευΐτας [ἐκ μέσου] υἱῶν Ἰσραὴλ · ἀντὶ παντὸς πρωτοτόκου διανοίγοντος [μήτραν]
> παρὰ τῶν υἱῶν Ἰσραὴλ λύτρα αὐτῶν ἔσονται · καὶ ἔσονται ἐμοὶ οἱ λευΐται · ἐμοὶ γὰρ πᾶν
> πρωτότοκον ἐν ᾗ ἡμέρᾳ πάταξα πᾶν πρωτότ[οκον] ἐν γῇ Αἰγύπτῳ · ἡγίασ[α ἐμοὶ] πᾶν πρωτό- 30
> τοκον ε..... τὰ πεφευγὼς ἐπὶ θεὸν [καὶ ἱκέτης] αὐτοῦ γεγονὼς λόγος. [ὀνομά]ζεται λευΐτης .
τοῦ[τον ἐκ τοῦ μεσαι]τάτου καὶ ἡγεμονικωτάτου τῆς ψυχῆς λαβών · τοῦτ' ἐ[στὶν] προσλαβώ-

1. πόνου. — ζῶον · προκοπῆς. — 2. σύμβ. τί ὅν ἐπὶ τῆς τ. τεχ. καὶ ἐπιτ. καὶ τ. ἄλ. ὅσα. — 3. Pap. μελετην. — 5. ἀμε-λοῦς. — 6. ἄγοντα. — 7. σοι pour σύ; voir Préf. — 8. Pap. βελθειωσι. — 9. προστίθησιν. — 10. ἐὰν δὲ μὴ δύνῃ. — 13. Pap. ων pour τῶν. — ἄλ. ἀναγκαίων περί... — περιουσ. ὅσα πραγμ. — 16. ἀνωφελῇ. — τὰ πάντα pour τἄλ. — 18. ἐθελήσῃς. — ὥστε καὶ ἀθλ. — 20. Pap. οσοις. — τε τ. — 21. Pap. σκληρωτ. — 23. πρὸς ἀμ. ἐπιδόσεις ἡ φύσις. — Pap. αννονητα. — ἀντιτείνωμεν. — 25. καὶ γάρ τοὺς λ. — 30. ἐν ἡμ. ᾗ. — 31. πρωτότοκον Ἰσραὴλ ὁ πεφευγ.

μενος καὶ προσσκληρώσας ἑαυτῷ τῆς τῶν πρεσβείων ἠξίωσεν μερίδος · ὥστε ἐνθαδὲ δῆλον
εἶν[αι ὅτι] ὁ μὲν Ῥουβὴν τοῦ Ἰακὼ[β ὁ δὲ] Λευὶς τοῦ Ἰσραὴλ πρωτότοκ[ός ἐστιν] ὁ μὲν τὰ
χρόνου. ὁ δὲ τὰ ἀ[ξιώ]ματος καὶ δυνάμεως φε[ρόμε]νος πρεσβεῖα · πόνου μὲν γὰρ καὶ προκο-
πῆς ὢν Ἰακὼβ σύμβολον. τὸ εὐφυὲς ἀρχὴ καθ' ὃ Ῥ[ου]βὴν καλεῖται · θεωρίας δὲ τῆς τοῦ
5 μόνου σοφοῦ καθ' ἣν Ἰσραὴλ τέτακται · πηγὴ τὸ θεραπευτ[ικ]ῶς ἔχειν αὐτοῦ θεραπ[εί]α[ς
Pag. LXXXVI. δὲ ὁ] Λευὶς ἐστιν σ[ημεῖον · καθάπερ οὖν τῶν Ἡσαῦ πρωτοτοκίων] κληρονόμος Ἰα[κὼβ ἀνευ-
ρί]σκεται. τῆς περὶ κακίας σπουδῆς ἡττωμένης τοῦ πρὸς τὸ καλὸν πό[νου] οὕτως καὶ τὰ Ῥου-
βὴν πρεσβεῖα τοῦ εὐφυοῦς. ὁ κεχρημένος ἀρετῇ τελείᾳ Λευὶς οἴσεται · τῆς δὲ τελειότητος
δεῖγμα ἐναργέστερον πρός[φυ]γα γενέσθαι θεοῦ καταλει[πό]ντα τὴν τῶν ἐν γενέσει [πρ]αγμα-
10 τείαν · ταῦτ' ἐστὶν [κυρί]ως εἰπεῖν τὰ ψυχῆς ἐ[λε]υθερίας ἐφιεμένης. σῶστρά τε καὶ λύθρα ·
μήποτε δὲ καὶ δόγμα εἰσηγεῖται σφόδρα ἀναγκαῖον · ὅτι πᾶς σοφὸς λύτρον ἐστὶν τοῦ φαύ-
λου · μηδ' ἂν πρὸς ὀλίγον χρόνον ἐξαρκέσαντος . εἰ μὴ [ἐλ]έῳ καὶ προμηθείᾳ χρώμενος
ἐκεῖνος προυνόει τῆς διαμονῆς αὐτοῦ · καθάπερ ἰατρὸς τοῦ νοσοῦντος · ἀντιτεταγμένος τοῖς
ἀῤῥωστήμασι καὶ πρᾴοτερον κατασκευάζων αὐτὰ ἢ συνόλως ἀναιρῶν · εἰ μήπου μετὰ φορᾶς
15 ἀνεπισχέτου βιασαμένης καὶ τὴν τῆς θεραπείας ὑπερβ[άλλοι] φρο[ντίδα · οὕτως γὰρ ἂν καὶ
Col. 5. Σ]όδομα [φθείρεται μηδενὸς οἷα ἐπὶ πλάστιγγος ἀμυθήτῳ πλ]ήθει κ[ακῶν ἀν]τιῤῥέψαι δυνη-
θέντος [ἀγα]θοῦ · ὡς εἴ γε ὁ πεντηκοστὸς λόγος εὑρέθη καθ' ὃν ἄφεσις ἡ ψυχὴ δουλείας
καὶ παντελὴς ἐλευθερία ἀποκερύττεται. ἤ τις τῶν μετὰ νητὸν ἀριθμῶν οὗ σοφὸς Ἀβραὰμ
καταλέγεται μέχρι τῆς κατὰ παιδείαν ὁρίζων δεκάδ[ος] τὴν ὕφησιν · οὐκ ἂν οὕ[τως] ἀκλεῶς
20 ὁ νοῦς ἐφθάρη · π[ειρᾶ]σθαι μέντοι δεῖ καὶ τ[οὺς μὴ π]άντως ὑπὸ τῆς ἐν αὐ[τοῖς δια]φθα-
ρησομένους [κακίας ὡς] οἷόν τε διασώζε[ιν μειμουμέ]νους τοὺς ἀγαθοὺς [τῶν ἰατρῶν] οἳ κἂν
ὁρῶσιν ἀδύνατ[ον] τοῖς κάμνουσιν τὸ σώζεσ[θαι] προσφέρουσι τὴν θεραπείαν · ὅπως ἄ[σμε]-
νοι μὴ τῇ παρ' αὐτοὺ[ς ὀλι]γωρείᾳ δοκεῖν συμβ[ῆναι τί] τῶν παρὰ γνώμην · [εἰ δέ τι καὶ
μικρὸν ὅσον [ὑγείας σπέρμα ἐνφαίνοι[το τοῦ]το ὥσπερ ἐμπύρευ[μα] πάσαις ἐπιμελείαις ζωπυ-
25 ρηταίον · ἐλπὶς γὰρ [μη]κυνθέντος καὶ συναυξηθέντος ἀμείνονι καὶ ἀπτ[αι]στοτέρῳ χ[ρήσασθαι]
Pag. LXXXVII. βίῳ · ἐγὼ [γ' οὖν ὅταν τινὰ] τῶν [σπ]ου[δαίων διαιτώ]μενον κατ' [οἰκίαν] ἢ κατὰ πόλιν θ[εά]-
σομαι τὴν οἰκίαν καὶ τὴν [πόλι]ν ἐκείν[ην εὐ]δαιμονίζ[ω καὶ οἴ]ομαι [τήν τε] τῶν π[αρόν-
τ]ων ἀγαθῶν [ἀπ]όλαυσιν βέβαιον · καὶ τὴν τῶν ἀπόντων προσδοκίαν τελε[σφ]ορουμένην σχή-
σειν · τοῦ θεοῦ τὸν ἀπεριόριστον καὶ ἀπερίγραφον πλοῦτον αὐτοῦ · διὰ τοὺς ἀ[ξίους] καὶ τοῖς
30 ἀναξίοις δωρου[μένο]υ · εὔχομαι ὡς πολυχρω[νιω]τάτους αὐτοὺς ἐπειδὴ δε [ἀγήρως ο]ὐκ ἔνε-
στιν γενέσθαι ἐ[πὶ τοσοῦ]τον παραμένειν [ἀνθρώποις τὰ ἀ]γαθὰ ἐφ' ὅσον ἂν οὗτοι [χρόνον

1. ἐνθένδε. — Ῥουβίν. — Λευί. — 3. Pap. δυναμενος. — 4. τοῦ εὐφυοῦς. — ὁ Ῥουβ. νοεῖται. — 6. λευίτης. — 7. Pap. κακιασπουδης. — τοῦ καλοῦ. — 10. Om. τά. — Pap. εφιεμενοι. — Om. τε. — 13. Pour προενόει. — 14. καὶ ἢ πρᾴοτερα. — 15. Pap. βιασαμενα. — 17. ψυχικῆς. — 18. προκηρύττεται. — τῶν μετ' αὐτόν ἀρ. οὗς ὁ σοφὸς Ἀβρ καταλέγει. — 20. μέντοι γε. — 22. ὅμως ἄσμ. τοῦ μή. — 23. Pap. μη τη ανη ουτως ολιγορ. — 25. Om. συν. — Pap. αμεινον. — 27. θεάσωμαι. — Pap. και/ η πολ. — 30. καὶ εὔχ. — ἔστιν. — 31. γεν. νομίζων ἐπὶ τοσ.

ζ]ῆν δυνηθῶσι · ὅταν οὖν ἢ ἴδω ἢ ἀκούσω τινὰ αὐτῶν τεθνεῶτα σφόδρα κατηφῶι καὶ ἄχθο-
μαι · καὶ οὐ μᾶλλον αὐ[τοὺ]ς ἢ τοὺς ζῶντας ὀλοφύ[ρομα]ι · τοῖς μὲν γὰρ ἀκολουθίᾳ [ψυχ]ῆς
τὸ ἀναγκαῖον ἀποβῆ[ναι τέλ]ος · βίον μὲν εὐδαίμονα · [εὐκλεᾶ] δὲ θάνατον ἐνδεξα[μένοις] · τοὺς
δὲ ἐρήμους με[γάλης] καὶ δυνατῆς χειρὸς δι' [ἣν ἐ]σώζοντο ἀπολιφθέντας ταχὺ δὴ μάλα
τῶν ἰδίων αἰσθήσεσθαι κακῶν · εἰ μὴ πάλιν ἀντὶ τῶν προτέρων ἡ φύσις. ὥσπερ δένδρῳ τοὺς 5
ἤδη [πεπανθέντας] καρποὺς ἀπο[βαλόντι νέους] ἑτέρ[ους] ἀνα[βλαστῆσαι παρασκευάσει · πρὸς
τροφὴν καὶ ἀπόλαυσιν τῶν χρῆσθαι δυναμέν]ων ὥ[σπερ οὖν τῶν πόλεω]ν τὸ ἐχυρώ[τατον εἰς] Col. b.
διαμονὴν ἄνδρες εἰσὶν ἀγαθοὶ οὕτως καὶ τῆς περὶ ἕκαστον ἡμῶν πόλεως ἣ συνέστηκεν ἐκ
ψυχῆς καὶ σώματος. τὸ βεβαιότατον εἰς ἵδρυσιν ἔλαχον οἱ φρονήσεως καὶ ἐπιστήμης ἐρα-
σταὶ λόγοι · οὓς ὁ νομοθέτης μεταφορᾷ χρώμενος λύτρα κ[αὶ πρωτο]τόκους καλεῖ · δι' ἃς 10
εἶπ[ον αἰτίας] ἤδη · ταύτῃ καὶ τὰς π[όλεις τῶν] λευϊτῶν λυτρωτὰς δ[ιὰ παν]τὸς εἶναί φησιν ·
ὅτι ὁ [θεοῦ] θεραπευτὴς αἰώνιο[ν ἐλευ]θερείαν κεκάρπωτα[ι κατὰ] τὰς συνεχεῖς τροπὰς τῆς
[ἀει] κεινήτου ψυχῆς ἱάσις δεχ[όμε]νος ἐπαλλήλους · τὸ γὰρ λυτρωτὰς μὴ ἅπαξ ἀλλὰ διὰ
παντὸς ὥς φησιν γεινέσθαι. τοιοῦτ[ον] ὑποβάλλει νοῦν · ἀεὶ μὲν [τρέ]πεσθαι. ἀεὶ δὲ ἐλευ-
θερ[οῦσθαι ·] τῆς μὲν τροπῆς διὰ τὸ φύ[σει] θνητὸν ἐγγινομένης · τῆς δὲ ἐλευθερείας χάριτι 15
τοῦ εὐεργέτου · ὃν κλῆρον ἔλαχεν βεβαιουμένης · ἄξιον δὲ μὴ παρέργως σκέψασθαι τί δή
ποτε τὰς πόλεις τῶν λευϊτῶν ἀνῆκε τοῖς φυγάσει · τοῖς ἱερωτάτοις το[ῖς ἀ]νιέ[ρους εἶν]αι Pag. LXXXVIII.
δο[κοῦντας συνοι]κεῖν [ἀξιώσας] · οὗ[τοι δ' εἰσὶν οἱ τὸν ἀκούσιον] φόνον [δράσαντες λεκτέον]
οὖν πρῶτον μὲν τἀκόλουθον τῷ πάλαι λεχθέντι ὅτι ὁ σπου[δα]ῖος τοῦ φαύλου λύτρον · ὥστε
[εἰκό]τως πρὸς τοὺς ἱερωμένο[υς] οἱ διαμαρτάνοντες [ἀφίξον]ται [το]ῦ καθαρθῆναι [χάριν· ἐ[πει]θ' 20
ὅτι φυγάδες [οἱ λευί]ται προσίενται · καὶ αὐ[τοὶ δυν]άμει φυγάδες ὄντες · [ὡς γὰρ] ἐκεῖνοι
τῶν πατρί[δων] ἐλαύνονται. οὕτως καὶ [οὗτοι] καταλελοίπασι τέκνα [γον]εῖς ἀδελφοὺς τὰ οἰκειό-
τατα [καὶ φίλτατα] ἵνα ἀντὶ θνητοῦ [τὸν ἀθάνατον] κλῆρον εὕρωνται · [διαφ]έρου[σι] δὲ ὅτι
ἐκείνοις μὲν [ἀβούλητος ἡ φυγ]ὴ δι' ἔργον ἀκού[σιον το]ύτοις δὲ ὁ ὁρασμὸς ἑκού[σιος] δι'
ἔρωτα τῶν ἀρίστων · καὶ [ὅτ]ι τοῖς μὲν οἱ λευῖται καταφυγή · τοῖς δὲ λευῖταις ὁ πάντων 25
[ἡγ]εμὼν εἶναι · ἵν' οἱ μὲν ἀτε[λεῖς] νόμ[ον] ἔχωσιν τὸν ἱερὸν λόγον · οὗτοι δὲ τὸν ᾧ
ἱερῶνται θεὸν ἔτι γε μὴν οἱ τὸν ἀκούσιον φόνον δράσαντες · τὰς αὐτὰς τοῖς λευῖταις πόλεις
ἔλαχον οἰκεῖν · ὅτι καὶ αὐτοὶ διὰ φόνον ὅσιον προνομίας ἠξιώθησαν · ὅτε γοῦν ἡ ψυχὴ τρα-
πεῖσα τὸν Αἰγ[ύπ]τιον [θεὸν τὸ σῶμ]α ὡς [χρυ]σὸν [ἐξετί]μη[σε τόθ' οἱ ἱεροὶ] λόγοι π[άντες Col. b.
αὐτοκέλευστοι] μεθ' ὅ[πλων ὁρμήσαντες] ἀμυνθη[ρίων τῶν κατ' ἐπι]στήμην ἀποδείξεων · [ἡγε]- 30
μόνα προστησάμ[ενοι καὶ] στρατηγὸν τὸν ἀρχιερ[έα καὶ] προφήτην καὶ φίλον το[ῦ θεοῦ] Μωϋ-
σῆν. πόλεμον [ἀκήρυκτον] ὑπὲρ εὐσεβείας π[ολεμοῦσι] καὶ οὐ πρότερον ἀπ[ηλλάγησαν] ἢ
πάντα τὰ τῶν [ἐναντιουμέ]νων δόγματα [καταλῦσαι ·] ὥστε εἰκότως σύ[νοικοι γεγό]νασιν οἱ

1. δυν. τὰ καλά. ὅταν... — Om. ἢ (ἴδ.). — 2. φύσεως pour ψυχ. — ἐνδειξαμένοις. — 7. ὀχυρώτατων. — 11. Pap. λυτρατας. — 15. τῆς δὲ ἐλευθερίας διὰ τὴν τοῦ θεοῦ θεραπείαν ἐπιγινομένης. ἄξιον... (Id. Turn.) Caet. Om. — 18. Pap. φων. — 19. ῥηθέντι pour λεχθ. — Om. ὁ — 20. Pap ιερομενους. — διαμαρτόντες. — 21. φυγάδας οἱ λ. — Pap. προιενται. — 26. ἐστιν pour εἶναι. — 27. Pour ἱεροῦνται. — 28. Pap. ελαχεν. — οὗτοι.

τὰς ὁμ[οίας καὶ] μὴ τὰς αὐτὰς πράξις ἐργασ[άμενοι ·] ἄδεται δὲ τις καὶ τοιοῦτος ἐν ἀπορ-
ρήτοις λόγος · ὃν ἀκοαῖς πρεσβυτέρων παρακατατίθεσθαι χρή · νεωτέρων ὦτα ἐπιφ[ρά]ξαντας ·
τῶν γὰρ περὶ τὸν θεὸν δυνάμεων ἀρίστων πασῶν μία οὖσα ταῖς ἄλλαις ἰσότιμος ἡ νομοθε-
τική · νομοθέτης γὰρ καὶ πηγὴ νόμων αὐτὸς ὑφ' οὗ πάντες οἱ κατὰ μέρος νομοθέται · διχῇ
5 πέφυκεν τέμνεσθαι · τῇ δὲ εἰς εὐεργεσίαν κατορθούντων · τῇ δὲ εἰς κόλασιν ἁμαρτανόντων .
Pag. LXXXIX. τοῦ [μὲ]ν προ[τέρου] τιμή[ματος] ὑπη[ρέτης ὁ λε]υ[ίτης] ἐστίν · [τὰς γὰρ λει]το[υργίας ἁ]πά-
σα[ς ἀναδέχ]εται · [ὅσαι] πρὸς ἱερωσύνην ἀναφέρονται τελεί[αν κ]αθ' ἣν διασυν[ίσ]ταται καὶ
γνωρίζεται τὸ θνητὸν θεῷ ἢ δι' [ὁλο]καυτωμάτων ἢ διὰ [σωτη]ρίων ἢ διὰ μετανοίας ἁμαρ-
τημάτων · τοῦ δὲ δευτέρου καὶ κολαστηρίου τιμήματος · οἱ τὸν ἀκούσιον φόνον δρῶντες ὑπη-
10 ρέται γεγόνασιν · καὶ μαρτυρεῖ Μοϋσῆς φάσκων · ὁ δὲ οὐχ ἑκὼν ἀλλ' ὁ θεὸς παρ[έδωκε]ν
αὐτῷ εἰς τὰς χεῖρας · ὥστε τὰς μὲν [τούτ]ου χεῖρας ὀργάνων τρόπον παραλαμ[βά]νεσθαι · τὸν
δὲ διὰ τούτων ἀοράτως [ἐνε]ργοῦντα [ἕτερο]ν εἶναι τὸν ἀόρατον συν[οικεί]τωσαν οὖν δύο θερά-
ποντες τῶν νομο[θε]τικῆς ὑπηρέται δυεῖν εἰδῶν · τοῦ μὲν [πρὸς] εὐεργεσίαν ὁ λευίτης τοῦ δὲ
πρὸς κό[λασ]ιν ὁ ἀκουσίως ἀνελών · [ἐν] ᾗ δὲ φησὶν ἡμέ[ρᾳ] ἐπάταξα πᾶν πρωτό[τοκον ἐν γῇ]
15 Αἰγύ[πτῳ] ἡγίασα ἐμοὶ πᾶν πρωτότοκον ἐν Ἰσραήλ. [οὐχ ἵ]να τοῦθ' ὑποτοπήσωμεν ὅτι κατ'
ἐκεῖνον [τὸν] χρόνον καθ' ὃν ἐπλήγη τὴν μεγάλην πληγὴν φθορᾷ τῶν πρωτοτόκων [Αἴγυπτος
κα]ὶ οἱ πρωτότοκοι ἐγένοντο ἅγιοι · [ἀλλ' ὅτι καὶ πάλ]αι καὶ νῦν καὶ αὖθις καὶ ἀεὶ τοῦτο συν-
[βαίνειν] ἐπὶ ψυχῆς πέφυκεν ὅταν τὰ τοῦ τυ[φλο]ῦ πάθους ἡγεμονικώτατα φθαρῇ · τηνικαῦτα τὰ
τοῦ θεοῦ ὀξυδερκῶς ὁρῶντος πρεσβύτερα καὶ τίμια ἔγγονα γείνεται ἅγια · κακίας γὰρ ἔξοδος
20 ἀρετῆς εἴσοδον εἰργάζεται · ὡς καὶ τοὐναντίον ὑπεκστάντος ἀγαθοῦ τὸ ἐφεδρεῦον κακὸν ἐπεισέρ-
χεται · ὅσον οὐδέπω [γοῦν] ἐξῆλθεν Ἰακὼβ καὶ πάρεστιν ἐπὶ τὴν παν[δεχ]ῆ διάνοιαν Ἡσαῦ ·
ἀντὶ τῶν ἀρετῆς τύπων ἐνσφραγιούμενος κακίας ἣν δύνηται χαρακτῆρας · ἀλλ' οὐκ ἂν ἰσχύσῃ
τοῦτ' εἰργάσασθαι · πτερνισθεὶς γὰρ καὶ κληρονομηθεὶς ὑπὸ τοῦ σοφοῦ λήσεται φθάσαντος πρὶν
ἢ πα[θεῖν ἀμύνασ]θαι · προσάγει δὲ οὐ μόνον ἀπὸ τῶν πρωτο[τόκ]ων τὰς ἀπαρχὰς · ἀλλὰ καὶ
25 ἀπὸ τῶν στεάτων · ἐμφήνων ὅτι τὰ τῆς ψυχῆς γεγηθότα καὶ πίονα καὶ φυλακτικὰ καὶ χαρτὰ
Col. b πάντα [τῷ θεῷ] παραχωρητ[έον · ὁ]ρῶ δ' ἔγωγε [καὶ] ἐν ταῖς τῶν [θυσιῶ]ν [δια]τάξε[σι] τρία
προστεταγμένα φέ[ρειν ἀπὸ] τῶν ἱερείων τὰ πρῶτα στ[έαρ καὶ νε]φροὺς καὶ λοβὸν ἥπατος περὶ
ὧν κ[ατ' ἴ]διαν λέξομεν · οὐδαμοῦ δὲ ἐγκέφαλον ἢ καρδίαν ἅπερ εἰκὸς ἦν πρὸ τῶν ἄλλων [κατα]γνί-
ζεσθαι · εἴ γε καὶ κατὰ τὸν νομο[θέτην] ἐν τῷ ἑτέρῳ τούτων τὸ ἡγεμονι[κὸν] ἀνωμολόγηται · ἀλλὰ
30 μήποτε [ὁσίως] καὶ πάνυ κἂν περισκέψεως [ἀκρι]βοῦς αὐτὰ εἰς τὸν τοῦ θεοῦ βωμ[ὸν οὐ]κ ἄνηκεν ·

1. Pour πράξεις. — Pap. α δε τις. — τις κ. τ. ὡς ἐν... — ὁμότιμος. — 4. Turn. om. de διχῇ à τοῦ μὲν προτέρου inclus. — 5. Pap. κατορ. την. — 6. μὲν οὖν. — 7. Pap. ιεροσυνην. — διανίσταται. — 8. Pap. γνωζεται. — 9. τοῦ δὲ ἑτέρου. — 10. Pap. υπηται. — 11. αὐτόν. — χεῖρας αὐτοῦ · ὥστε... — 13. δύο. — 15. ἐν γῇ Αἰγ. ἡγ. μοι. Pap. προτοτ. — Om. ἐν. — 17. οἱ Ἰσραὴλ πρωτ. — 18. διαφθαρῇ. — 21. Pap. εξηλθον. — Pap. πανδεχην. — 22. ἴσχυσε. — 23. κλιθεὶς pour κληρ. — 25. Pour ἐμφαίνων. — 27. ἀναφέρειν. — 28. Pap. καταγιζεσθαι. — Om. καί. — 30. καὶ ἐκ Turn. καὶ περισκέπτως ἀκριβῶς. — Om. αὐτά. — εἰς τὸν πιστὸν τ. θ. β. οὐκ. ἀνήνεγκεν.

ὅτι τὸ ἡγεμονικὸν κατ[ὰ ἀ]μερὴ χρόνον διαστήματα πολλὰ εἰ πρὸς ἑκάτερον τὸ εὖ καὶ τὸ χεῖρον τροπὰς λαμβάνον · καὶ διαλάττοντας ἀεὶ τύπους δέχεται · τὸ μὲν [κα]θαροῦ καὶ δοκίμου · τοτὲ δὲ [πα]ρακεκομμένου καὶ κ[ιβ]δήλου [νο]μίσματος · τὴν [δεδε]γμένην χώραν ἄμφω τὰ μαχόμενα καλόν τε καὶ αἰσχρὸν καὶ πρὸς ἑκάτερον [ὠκειω]μένην καὶ τὴν ἴσην τιμὴν [ἀμφοτέρ]οις ἀπονέμουσ[αν οὐχ ἧττον ἄ]ναγνον ἢ [εὐα]γῆ κρίνας [ὁ νομοθέτης] ἀπὸ τοῦ θείου βωμοῦ κατεβί[βασε · τὸ γὰρ] αἴσχρον βέβη[λον] τὸ δὲ βέβηλον πάντως [ἀνίε]ρον τοῦτο δὲ τὸ ἡγεμονικὸν διακεχώρ[ικε]ν αὐτῶν τῶν μερῶν κεκα[θαρμ]ένων..... των ἀκηλίδωτον · ἄχρωτον ὁλοκα[υτωθήσεται · νόμος γὰρ ὁλοκαυτωμάτων οὕτως μηδὲν ἔξω τροφὴν σκυβάλων καὶ δέρματος ἃ σωματικῆς ἀσθεν[εία]ς δίγμα οὐχὶ κακίας ἐστὶν ὑπολείπεσθαι τῷ γ[εννη]τῷ · τὰ δὲ ἄλλα ὅσα ψυχὴν ὁλόκλη[ρον] μέρη ὁλοκαυτοῦν θεῷ.

ΦΙΛΩΝΟϹ ΠΕΡΙ ΓΕΝΕϹΕΩϹ ΑΒΗΛ ΩΝ ΑΥΤΟϹ ΤΕ ΚΑΙ ΑΔΕΛΦΟϹ ΙΕΡΟΥΡΓΟΥϹΙ —

1. κατὰ ἀμερὲς χρόνου διάστημα, πρὸς ἑκάτ. — 2. Om. καὶ δια. — 3. δεδ. σὺν χ. — 7. διακεχ. εἰ δ' ἐπίκρισιν πάσχοι, τηνικαῦτα πάντων τ. μερ. καθαρμένων, ἀκηλ. ἄχραντον ὁλ... — 8. οὕτος. — τροφῆς. — 9. δείγματα οὐ κακ. — 10. ὁλοκ. κατὰ πάντα τὰ μέλη παρέχεται, ὁλοκαυτοῦν θεῷ. Pap. om. ὁλοκαυτοῦν θεῷ et finit à μέρη.

FRAGMENT D'ÉVANGILE

Ce fragment, écrit en très belles onciales, se trouvait à la suite des traités de Philon. La ponctuation y varie selon la triple position du point, en haut, en bas ou intermédiaire. Les grands alinéas sont reconnaissables à un trait horizontal placé au-dessus du premier mot du nouveau paragraphe, et ce mot déborde alors sur la marge.

Luc. V. 30 et suiv..... Πείνετε καὶ ἀ[πο]κριθεὶς Ἰησοῦς εἶ[πεν πρὸς] αὐτὸν οὐ χρείαν ἔχ[ου]σιν οἱ ὑγιαίνον[τες ἰα]τροῦ ἀλλ' οἱ κα[κῶ]ς ἔχοντες οὐκ [ἐλή]λυθα καλέσαι δι[καί]ους · ἀλλὰ ἁμαρτωλούς. εἰς μετάνοιαν οἱ δὲ εἶπαν πρὸς [αὐτό]ν · οἱ μαθηταὶ Ἰωάνου νηστεύουσιν πυκνὰ καὶ δεή[σεις] ποιοῦνται ὁμοί[ως κα]ὶ οἱ τῶν Φαρεισαί[ων] οἱ δὲ σοὶ ἐσθί[ου]σ[ιν κα]ὶ πείνουσιν ὁ δὲ Ἰησοῦς εἶπεν πρ[ὸς] αὐτούς · μὴ δύ.....καὶ ὅταν ἀπαρθῇ [ἀπ'] αὐτῶν ὁ νυμφίος τότε νηστεύουσιν ἐν ἐκείναις ταῖς ἡμέραις.

Ἔλεγεν δὲ καὶ παραβολὴν πρὸς αὐτοὺς ὅτι οὐδεὶς ἐπίβλημα ἀπὸ ἱματίου καινοῦ σχίσας ἐπιβάλλει ἐπὶ ἱμάτιον παλαιόν · εἰ δὲ μή γε καὶ τὸ καινὸν σχίσει καὶ τῷ παλαιῷ οὐ συμφωνήσει τὸ ἐπίβλημα τὸ ἀπὸ τοῦ και[νο]ῦ καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς εἰ δὲ μή γε ῥήγνυσι ὁ οἶνος ὁ νέος τοὺς ἀσκοὺς καὶ αὐτὸς ἐκχυθήσεται καὶ οἱ ἀσκοὶ ἀπολοῦνται · ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον οὐδεὶς πιὼν παλαιὸν θέλει νέον · λέγει γὰρ ὁ παλαιὸς χρηστός ἐστιν.

Luc. VI. Ἐγένετο δὲ ἐν σαββάτῳ διαπορεύεσθαι αὐτὸν διὰ σπορίμων · καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ καὶ ἤσθιον τοὺς στάχυας ψώχοντες ταῖς χερσὶν τινὲς δὲ τῶν Φαρεισαίων εἶπον τί ποιεῖτε ὃ οὐκ ἔξεστιν · τοῖς σάββασιν · καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπεν Ἰησοῦς οὐδὲ τοῦτο ἀνέγνωτε ὃ ἐποίησεν Δαυὶδ ὅτε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ · εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ καὶ τοὺς ἄρτ[ους] τῆς προθέσεως ἔλα[βεν].....



PHOTOTYPIE BERTHAUD 3, RUE CADET

MANUSCRIT DE PHILON. N° 1



PHOTOTYPIE BERTHAUD 9, RUE CADET, PARIS

MANUSCRIT DE PHILON. N° 2



PHOTOTYPIE BERTHAUD

MANUSCRIT DE PHILON. N° 3

PHOTOTYPIE BERTHAUD

9, RUE CADET, PARIS

RELIURE DU MANUSCRIT DE PHILON

DT57 .F81 v.9:1-3 FOLIO
Le papyrus mathematique d'Akhmim
Princeton Theological Seminary-Speer Library
1 1012 00083 6504